Ο ΕΥΜΕΝΗΣ ΚΑΙ ΟΙ ΠΡΕΣΒΕΥΤΑΙ ΤΟΥ ΑΝΤΙΟΧΟΥ ΑΦΙΚΝΟΥΝΤΑΙ ΕΙΣ ΡΩΜΗΝ. — «Ἤδη τῆς θερείας ἐνισταμένης μετὰ τὴν νίκην τῶν Ρωμαίων τὴν πρὸς Ἀντίοχον, παρῆν ὅ,τε βασιλεὺς Εὐμένης, οἵ τε παρ' Ἀντιόχου πρέσβεις, οἵ τε παρὰ τῶν Ροδίων, ὁμοίως δὲ καὶ παρὰ τῶν ἄλλων. Σχεδὸν γὰρ ἅπαντες οἱ κατὰ τὴν Ἀσίαν εὐθέως μετὰ τὸ γενέσθαι τὴν μάχην ἔπεμπον πρέσβεις εἰς τὴν Ρώμην, διὰ τὸ πᾶσι τότε καὶ πάσας τὰς ὑπὲρ τοῦ μέλλοντος ἐλπίδας ἐν τῇ συγκλήτῳ κεῖσθαι. Ἅπαντας μὲν οὖν τοὺς παραγενομένους ἐπεδέχετο φιλανθρώπως ἡ σύγκλητος· μεγαλοπρεπέστατα δὲ καὶ κατὰ τὴν ἀπάντησιν καὶ τὰς τῶν ξένων παροχὰς Εὐμένη τὸν βασιλέα, μετὰ δὲ τοῦτον τοὺς Ροδίους.» 2)

Ο ΥΠΑΤΟΣ ΜΑΝΛΙΟΣ ΑΝΤΙΚΑΘΙΣΤΑ ΤΟΝ Λ. ΣΚΙΠΙΩΝΑ ΕΝ ΑΣΙΑ. — Ἐν τούτοις ἐν Ρώμῃ ἐξελέξαντο δύο νέους ὑπάτους (189) τὸν Μάρκον Φούλβιον καὶ τὸν Κ. Μάνλιον, οἵτινες ὤφειλον νὰ λάβωσι τὴν ἀρχηγίαν τοῦ στρατοῦ τοῦ Λ. Σκιπίωνος, ἐνισχυθέντος διὰ 4 χιλ. πεζῶν, 200 ἱππέων Ρωμαίων καὶ 8 χιλ. πεζῶν καὶ 400 ἱππέων Λατίνων, προωρισμένοι ὄντες νὰ ἐξακολουθήσωσι τὸν κατὰ τοῦ Ἀντιόχου πόλεμον. Καὶ ὁ μὲν Κ. Μάνλιος ὡρίσθη διὰ τὴν Ἀσίαν, ὁ δὲ διὰ τὴν Αἰτωλίδα. Καθ' ὃν χρόνον ἐνηργοῦντο αἱ παρασκευαὶ αὗται, φήμη διεδόθη ἐν Ρώμῃ ὅτι ὁ Ἀντίοχος προσεταιρίσθη τοὺς Ρωμαίους στρατηγοὺς διὰ προδοσίας, ἐξ ἐφόδου κυριεύσας τὸ στρατόπεδον αὐτῶν καὶ ἐξεμηδένισε τὸν στρατὸν αὐτῶν. Ἀλλὰ μετ' ὀλίγας ἡμέρας εἰδήσεις θετικώτεραι καὶ ἐπιστολαὶ τοῦ στρατηγοῦ διέψευσαν ταῦτα πάντα. Ἐν τοσούτῳ δὲν ἀνέβαλον τὴν ἀποστολὴν τοῦ νέου ὑπάτου εἰς Ἀσίαν, μηδὲ ἠλάττωσαν τὸν στρατὸν αὐτοῦ, φοβούμενοι μὴ οὗτος ἀναγκασθῇ νὰ πολεμήσῃ καὶ κατὰ τῶν Γαλλοελλήνων 3).

---

(1) Πολυβ. βιβλ. 21. 13 καὶ 14.
(2) Πολυβ. βιβλ. 22, 1.
(3) Τιτ· Λιβ. βιβλ. 48.

Ο ΕΥΜΕΝΗΣ ΕΙΣΑΓΕΤΑΙ ΕΝ ΤΗ ΣΥΓΚΛΗΤΩ. — ΑΓΟΡΕΥΣΙΣ ΑΥΤΟΥ. — Μετ᾽ οὐ πολύ, ὁ Μ. Αὐρήλιος Κόττας, ὑπασπιστὴς τοῦ Λ. Σκιπίωνος, ἀφίκετο εἰς Ρώμην μετὰ τῶν πρεσβευτῶν τοῦ Ἀντιόχου, τοῦ Εὐμένους καὶ τῶν Ροδίων. Ὁ Κόττας ἐξέθεσε πρῶτον τῇ συγκλήτῳ, ἐνώπιον τοῦ ρωμαϊκοῦ λαοῦ, τὰ καθέκαστα τοῦ ἐν Ἀσίᾳ πολέμου. Εἶτα εἰσήχθη ὁ Εὐμένης.

« Ἐπειδὴ δ᾽ ὁ τῆς ἐντεύξεως καιρὸς ἦλθεν, εἰσεκαλέσαντο πρῶτον τὸν βασιλέα Εὐμένη, καὶ λέγειν ἠξίουν μετὰ παρρησίας, ὧν βούλεται τυχεῖν παρὰ τῆς συγκλήτου. Τοῦ δ᾽ Εὐμένους φήσαντος, διότι, εἰ καὶ παρ᾽ ἑτέρων τυχεῖν τινος ἐβούλετο φιλανθρώπου, Ρωμαίοις ἂν ἐχρήσατο συμβούλοις, πρὸς τὸ μήτ᾽ ἐπιθυμεῖν μηδενὸς παρὰ τὸ δέον, μήτ᾽ ἀξιοῦν μηδὲν παρὰ τοῦ καθήκοντος. Ὁπότε δ᾽ αὐτῶν πάρεστι δεόμενος Ρωμαίων, ἄριστον εἶναι νομίζει τὸ διδόναι τὴν ἐπιτροπὴν ἐκείνοις, καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἀδελφῶν· τῶν δὲ πρεσβυτέρων τινες ἀναστάντες, καὶ κελεύοντες μὴ κατορρωδεῖν, ἀλλὰ λέγειν τὸ φαινόμενον, διότι πρόκειται τῇ συγκλήτῳ, πᾶν αὐτῷ χαρίζεσθαι τὸ δυνατόν· ἔμενεν ἐπὶ τῆς αὐτῆς γνώμης. Χρόνου δ᾽ ἐγγιγνομένου, ὁ μὲν βασιλεὺς ἐξεχώρησεν, ἡ δὲ αὐτοὺς ἐβουλεύετο, τί δεῖ ποιεῖν· ἔδοξεν οὖν, τὸν Εὐμένη παρακαλεῖν, αὐτὸν ὑποδεικνῦναι θαρρούντως περὶ ὧν πάρεστι· καὶ γὰρ εἰδέναι τὰ διαφέροντα τοῖς ἰδίοις πράγμασιν ἐκεῖνον ἀκριβέστερον, καὶ τὰ κατὰ τὴν Ἀσίαν. Δοξάντων δὲ τούτων, εἰσεκλήθη· καὶ τῶν πρεσβυτέρων τινὸς ἀποδείξαντος τὰ δεδογμένα, λέγειν ἠναγκάσθη περὶ τῶν προκειμένων.

« Ἔφασκεν οὖν, ἄλλο μὲν οὐδὲν ἂν εἰπεῖν περὶ τῶν καθ᾽ αὑτόν, ἀλλὰ μεῖναι ἐπὶ τῆς αὐτῆς γνώμης, τελέως διδοὺς ἐκείνοις τὴν ἐξουσίαν. Ἕνα δὲ τόπον ἀγωνιᾶν, τὸν κατὰ τοὺς Ροδίους· διὸ καὶ προῆχθαι νῦν εἰς τὸ λέγειν ὑπὲρ τῶν ἐνεστώτων. Ἐκείνους γὰρ παρεῖναι μέν, οὐδὲν ἧττον ὑπὲρ τοῦ τῆς σφετέρας πατρίδος συμφέροντος σπουδάζοντας, ἅπερ αὐτὸν ὑπὲρ τῆς ἰδίας ἀρχῆς φιλοτιμεῖσθαι κατὰ τὸ παρόν· τοὺς δὲ λόγους αὐτῶν τὴν ἐναντίαν ἔμφασιν ἔχειν τῇ προθέσει τῇ κατὰ τὴν ἀλήθειαν· τοῦτο δ᾽ εἶναι ῥάδιον καταμαθεῖν. Ἐρεῖν μὲν γὰρ αὐτούς, ἐπειδὰν εἰσπορευθῶσι, διότι πάρεισιν, οὔτε παρ᾽ ὑμῶν αἰτούμενοι τὸ παράπαν οὐδέν, οὐθ᾽ ἡμᾶς

βλάπτειν θέλοντες κατ᾽ οὐδένα τρόπον, πρεσβεύονται δὲ περὶ τῆς ἐλευθερίας τῶν τὴν Ἀσίαν κατοικούντων Ἑλλήνων· τοῦτο δ᾽ οὐχ οὕτως αὐτοῖς εἶναι κεχαρισμένον φήσουσιν, ὡς ὑμῖν καθῆκον καὶ τοῖς γεγονόσιν ἔργοις ἀκόλουθον. Ἡ μὲν οὖν διὰ τῶν λόγων φαντασία τοιαύτη τις αὐτῶν ἔσται. Τὰ δὲ κατὰ τὴν ἀλήθειαν τὴν ἐναντίαν ἔχοντα, τούτοις εὑρεθήσεται διάθεσιν.

«Τῶν γὰρ πόλεων ἐλευθερωθεισῶν, ὡς αὐτοὶ παρακαλοῦσι, τὴν μὲν τούτων συμβήσεται δύναμιν αὐξηθῆναι πολλαπλασίως, τὴν δὲ ἡμετέραν τρόπον τινα καταλυθῆναι. Τὸ γὰρ τῆς ἐλευθερίας ὄνομα καὶ τῆς αὐτονομίας ἡμῖν μὲν ἄρδην ἀποσπάσει πάντας οὐ μόνον τοὺς νῦν ἐλευθερωθησομένους, ἀλλὰ καὶ τοὺς πρότερον ἡμῖν ὑποταττομένους, ἐπειδὰν ὑμεῖς ἐπὶ ταύτης ὄντες φανεροὶ γένησθε τῆς προαιρέσεως, τούτοις δὲ προσθήσει πάντας. Τὰ γὰρ πράγματα φύσιν ἔχει τοιαύτην· δόξαντες γὰρ ἠλευθερῶσθαι διὰ τούτους, ὀνόματι μὲν ἔσονται σύμμαχοι τούτων. Τῇ δ᾽ ἀληθείᾳ πᾶν ποιήσουσι τὸ κελευόμενον ἑτοίμως, τῇ μεγίστῃ χάριτι γεγονότες ὑπόχρεοι. Διόπερ, ὦ ἄνδρες, ἀξιοῦμεν ὑμᾶς, τοῦτον τὸν τρόπον ὑπιδέσθαι, μὴ λάθητε τοὺς μὲν παρὰ τὸ δέον αὔξοντες, τοὺς δὲ ἐλαττοῦντες τῶν φίλων ἀλόγως· ἅμα δὲ τούτοις τοὺς μὲν πολεμίους γεγονότας εὐεργετοῦντες, τοὺς δ᾽ ἀληθινοὺς φίλους παρορῶντες, καὶ κατολιγωροῦντες τούτων.

«Ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων, ὅτου δέοι, παντὸς παραχωρήσαιμι τοῖς πέλας ἀφιλονείκως· περὶ δὲ τῆς ἡμετέρας φιλίας καὶ τῆς εἰς ὑμᾶς εὐνοίας ἁπλῶς οὐδέποτ᾽ ἂν οὐδενὶ τῶν ὄντων ἐκχωρήσαιμι κατὰ δύναμιν. Δοκῶ δὲ καὶ τὸν πατέρα τὸν ἡμέτερον, εἴπερ ἔζη, τὴν αὐτὴν ἂν προέσθαι φωνὴν ἐμοί. Καὶ γὰρ ἐκεῖνος, πρῶτος μετασχὼν τῆς ὑμετέρας φιλίας καὶ συμμαχίας σχεδὸν πάντων τῶν κατὰ τὴν Ἀσίαν καὶ Ἑλλάδα μενόντων, εὐγενέστατα διεφύλαξε ταύτην ἕως τῆς τελευταίας ἡμέρας, οὐ μόνον κατὰ τὴν προαίρεσιν, ἀλλὰ καὶ κατὰ τὰς πράξεις. Πάντων γὰρ ὑμῖν ἐκοινώνησε τῶν κατὰ τὴν Ἑλλάδα πολέμων, καὶ πλείστας μὲν εἰς τούτους καὶ πεζικὰς καὶ ναυτικὰς δυνάμεις παρέσχετο τῶν ἄλλων συμμάχων, πλείστην δὲ συνεβάλλετο χορηγίαν, καὶ μεγίστους ὑπέμεινε κινδύνους· τέλος δ᾽ εἰπεῖν, κατέστρεψε τὸν βίον ἐν αὐτοῖς τοῖς ἔργοις κατὰ τὸν Φιλιππικὸν πόλεμον παρακαλῶν Βοιωτοὺς εἰς τὴν ὑμετέραν φιλίαν

καὶ συμμαχίαν. Ἐγὼ δὲ διαδεξάμενος τὴν ἀρχήν, τὴν μὲν προαίρεσιν τὴν τοῦ πατρὸς διεφύλαξα, ταύτην γὰρ οὐχ οἷόν τ' ἦν ὑπερθέσθαι. Τοῖς δὲ πράγμασιν ὑπερεθέμην· οἱ γὰρ καιροὶ τὴν ἐκ πυρὸς βάσανον ἐμοὶ μᾶλλον ἢ ἐκείνῳ προσῆγον. Ἀντιόχου γὰρ σπουδάζοντος ἡμῖν θυγατέρα δοῦναι, καὶ συνοικειωθῆναι τοῖς ὅλοις, διδόντος δὲ παραχρῆμα μὲν τὰς πρότερον ἀπηλλοτριωμένας ἀφ' ἡμῶν πόλεις, μετὰ δὲ ταῦτα πᾶν ὑπισχνουμένου ποιήσειν εἰ μετάσχοιμεν τοῦ πρὸς ὑμᾶς πολέμου. Τοσοῦτον ἀπέσχομεν τοῦ προσδέξασθαί τι τούτων, ὡς πλείσταις μὲν καὶ πεζικαῖς καὶ ναυτικαῖς δυνάμεσι τῶν ἄλλων συμμάχων ἠγωνισάμεθα μεθ' ὑμῶν πρὸς Ἀντίοχον, πλείστας δὲ χορηγίας συμβεβλήμεθα πρὸς τὰς ἡμετέρας χρείας ἐν τοῖς ἀναγκαιοτάτοις καιροῖς, εἰς πάντας δὲ τοὺς κινδύνους δεδώκαμεν αὐτοὺς ἀπροφασίστως μετά γε τῶν ὑμετέρων ἡγεμόνων. Τὸ δὲ τελευταῖον ὑπεμείναμεν συγκλεισθέντες εἰς αὐτὸν τὸν Πέργαμον πολιορκεῖσθαι καὶ κινδυνεύειν ἅμα περὶ τοῦ βίου καὶ τῆς ἀρχῆς διὰ τὴν πρὸς τὸν ὑμέτερον δῆμον εὔνοιαν.

« Ὅσθ' ὑμᾶς, ὦ ἄνδρες Ρωμαῖοι, πολλοὺς μὲν γεγονότας αὐτόπτας, πάντας δὲ γινώσκοντας, διότι λέγομεν ἀληθῆ, δίκαιόν ἐστι τὴν ἁρμόζουσαν πρόνοιαν ποιήσασθαι περὶ ἡμῶν. Καὶ γὰρ ἂν πάντων γένοιτο δεινότατον, εἰ Μασσανάσσην μέν, τὸν οὐ μόνον ὑπάρξαντα πολέμιον ὑμῖν, ἀλλὰ καὶ τὸ τελευταῖον καταφυγόντα πρὸς ὑμᾶς μετὰ τῶν ἱππέων, τοῦτον, ὅτι καθ' ἕνα πόλεμον, τὸν πρὸς Καρχηδονίους, ἐτήρησε τὴν πίστιν, βασιλέα τῶν πλείστων μερῶν τῆς Λιβύης πεποιήκατε. Πλεύρατον δέ, πράξαντα μὲν ἁπλῶς οὐδέν, διαφιλάξαντα δὲ μόνον τὴν πίστιν, μέγιστον τῶν κατὰ τὴν Ἰλλυρίδα δυναστῶν ἀναδεδείχατε· ἡμᾶς δὲ τοὺς διὰ προγόνων τὰ μέγιστα καὶ κάλλιστα τῶν ἔργων ὑμῖν συγκατειργασμένους, παρ' οὐδὲν ποιήσεσθε. Τί οὖν ἐστιν, ὃ παρακαλῶ, καὶ τίνος φημὶ δεῖν ἡμᾶς τυγχάνειν παρ' ὑμῶν ; Ἐρῶ μετὰ παρρησίας, ἐπείπερ ἡμᾶς ἐξεκαλέσασθε πρὸς τὸ λέγειν ὑμῖν τὸ φαινόμενον. Εἰ μὲν αὐτοὶ κρίνετέ τινας τόπους διακατέχειν τῆς Ἀσίας τῶν ὄντων μὲν ἐπὶ τάδε τοῦ Ταύρου, ταττομένων δὲ πρότερον ὑπ' Ἀντίοχον, τοῦτο καὶ μάλιστα βουλοίμεθ' ἂν ἰδεῖν γενόμενον· καὶ γὰρ ἀσφαλέστατα βασιλεύσειν ὑμῖν γειτνιῶντες, ὑπολαμβάνομεν, καὶ μάλιστα μετέχοντες τῆς ὑμετέρας ἐ-

ξουσίας. Εἰ δὲ τοῦτο μὴ κρίνετε ποιεῖν, ἀλλ' ἐκχωρεῖν τῆς Ἀσίας ὁλοσχερῶς, οὐδενὶ φαμὲν δικαιότερον εἶναι παραχωρεῖν ὑμᾶς τῶν ἐκ τοῦ πολέμου γεγονότων ἄθλων, ἥπερ ἡμῖν. Νὴ Δία κάλλιόν ἐστιν τοὺς δουλεύοντας ἐλευθεροῦν· εἴγε μὴ μετ' Ἀντιόχου πολεμεῖν ἡμῖν ἐτόλμησαν. Ἐπεὶ δὲ τοῦθ' ὑπέμειναν, πολλῷ κάλλιον, τὸ τοῖς ἀληθινοῖς φίλοις τὰς ἁρμοζούσας χάριτας ἀποδιδόναι μᾶλλον, ἢ τοὺς πολεμίους γεγονότας εὐεργετεῖν.

«Ὁ μὲν οὖν Εὐμένης ἱκανῶς εἰπών, ἀπηλλάγη· τὸ δὲ συνέδριον αὐτόν τε τὸν βασιλέα καὶ τὰ ῥηθέντα φιλοφρόνως ἀπεδέχετο, καὶ πᾶν τὸ δυνατὸν προθύμως εἶχεν αὐτῷ χαρίζεσθαι».

ΑΓΟΡΕΥΣΙΣ ΤΩΝ ΡΟΔΙΩΝ. — « Μετὰ δὲ τοῦτον ἐβούλοντο μὲν εἰσάγειν Ροδίους· ἀφυστεροῦντος δέ τινος τῶν πρεσβευτῶν, εἰσεκαλέσαντο τοὺς Σμυρναίους. Οὗτοι δὲ πολλοὺς μὲν ἀπολογισμοὺς εἰσήνεγκαν περὶ τῆς αὐτῶν εὐνοίας καὶ προθυμίας, ἣν παρέσχηνται Ρωμαίοις κατὰ τὸν ἐνεστῶτα πόλεμον. Οὔσης δὲ τῆς περὶ αὐτῶν δόξης ὁμολογουμένης, διότι γεγόνασι πάντων ἐκτενέστατοι τῶν ἐπὶ τῆς Ἀσίας αὐτονομουμένων, οὐκ ἀναγκαῖον ἡγούμεθα εἶναι τοὺς κατὰ μέρος ἐκτίθεσθαι λόγους. Ἐπὶ δὲ τούτοις εἰσῆλθον οἱ Ρόδιοι· καὶ βραχέα προσενεγκάμενοι περὶ τῶν κατ' ἰδίαν σφίσι πεπραγμένων εἰς Ρωμαίους, ταχέως εἰς τὸν περὶ τῆς πατρίδος ἐπανῆλθον λόγον. Ἐνῷ μέγιστον αὐτοῖς ἔφασαν γεγονέναι σύμπτωμα κατὰ τὴν πρεσβείαν, πρὸς ὃν οἰκειότατα διάκεινται βασιλέα καὶ κοινῇ καὶ κατ' ἰδίαν, πρὸς τοῦτον αὐτοῖς ἀντιπεπτωκέναι τὴν φύσιν τῶν πραγμάτων. Τῇ μὲν γὰρ αὐτῶν πατρίδι δοκεῖν τοῦτο κάλλιστον εἶναι, καὶ μάλιστα πρέπον Ρωμαίοις, τὸ τοὺς ἐπὶ τῆς Ἀσίας Ἕλληνας ἐλευθερωθῆναι, καὶ τυχεῖν τῆς αὐτονομίας, τοῖς ἅπασιν ἀνθρώποις προσφιλεστάτης. Εὐμένει δὲ καὶ τοῖς ἀδελφοῖς ἥκιστα τοῦτο συμφέρειν· φύσει γὰρ πᾶσαν μοναρχίαν τὸ μὲν ἴσον ἐχθαίρειν, ζητεῖν δέ, πάντας, εἰ δὲ μὴ γ' ὡς πλείστους, ὑπηκόους εἶναι σφίσι καὶ πειθαρχεῖν. Ἀλλά, καί περ τοιούτων ὄντων τῶν πραγμάτων, ὅμως ἔφασαν πεπεῖσθαι, διότι καθίξονται τῆς προθέσεως, οὐ τῷ πλεῖον Εὐμένους δύνασθαι παρὰ Ρωμαίοις, ἀλλὰ τῷ δικαιότερα φαίνεσθαι λέγοντες καὶ συμφερώτερα πᾶσιν ὁμολογουμένως· εἰ μὲν γὰρ μὴ δυνατὸν ἦν, ἄλλως Εὐμένει χά-

ριν ἀποδοῦναι Ρωμαίους εἰ μὴ παραδοῖεν αὐτῷ τὰς αὐτονομουμένας πόλεις, ἀπορεῖν εἰκὸς ἦν περὶ τῶν ἐνεστώτων· ἢ γὰρ φίλον ἀληθινὸν ἔδει παριδεῖν, ἢ τοῦ καλοῦ καὶ καθήκοντος αὐτοῖς ὀλιγωρῆσαι, καὶ τὸ τέλος τῶν ἰδίων πράξεων ἀμαυρῶσαι καὶ καταβαλλεῖν.

« Εἰ δ' ἀμφοτέρων τούτων ἱκανῶς ἔξεστιν προνοηθῆναι· τὶς ἂν ἔτι περὶ τούτου διαπορήσειεν ; Καὶ μήν, ὥσπερ ἐν δείπνῳ πολυτελεῖ, πάντα ἔνεστιν ἱκανὰ πᾶσιν, καὶ πλείω τῶν ἱκανῶν· καὶ γὰρ Λυκαονίαν, καὶ Φρυγίαν τὴν ἐφ' Ἑλλησπόντου, καὶ τὴν Ἰσιδικὴν, πρὸς δὲ ταύτας Χερρόνησον, καὶ τὰ προσοροῦντα ταύτῃ τῆς Εὐρώπης ἔξεστιν ὑμῖν, οἷς ἂν βούλησθε προστιθέναι· ὧν τινα προστεθέντα πρὸς τὴν Εὐμένους βασιλείαν δεκαπλασίαν αὐτὴν δύναται ποιεῖν τῆς νῦν ὑπαρχούσης· πάντων δὲ τούτων ἢ τῶν πλείστων αὐτῇ προσμερισθέντων οὐδεμιᾶς ἂν γένοιτο τῶν ἄλλων δυναστειῶν καταδεεστέρα.

« Ἔξεστιν οὖν, ἄνδρες Ρωμαῖοι, καὶ τοὺς φίλους μεγαλομερῶς σωματοποιῆσαι, καὶ τὸ τῆς ἰδίας ὑποθέσεως λαμπρὸν μὴ καταβαλεῖν. Οὐ γὰρ ἐστὶν ὑμῖν καὶ τοῖς ἄλλοις ἀνθρώποις ταὐτὸ τέλος τῶν ἔργων, ἀλλ' ἕτερον. Οἱ μὲν γὰρ ἄλλοι πάντες ὁρμῶσι πρὸς τὰς πράξεις, ὀρεγόμενοι τοῦ καταστρέψασθαι καὶ προσλαβεῖν πόλεις, χορηγίας, ναῦς. Ὑμᾶς δὲ πάντων τούτων ἀπροσδεήτους οἱ θεοὶ πεποιήκασι πάντα τὰ κατὰ τὴν οἰκουμένην τεθεικότες ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν. Τίνος οὖν ἔτι προσδεῖσθε καὶ τίνος ἂν ἔτι δέοι πρόνοιαν ὑμᾶς ποιεῖσθαι τὴν ὀχυρωτάτην ; Μᾶλλον ὡς ἐπαίνου καὶ δόξης παρ' ἀνθρώποις, ἃ καὶ ποιήσασθαι μὲν ἔστι δυσχερές, δυσχερέστερον δὲ κτησάμενοι διαφυλάξαι. Γνοίηται δ' ἂν τὸ λεγόμενον οὕτως. Ἐπολεμήσατε πρὸς Φίλιππον, καὶ πᾶν ὑπεμείνατε χάριν τῆς τῶν Ἑλλήνων ἐλευθερίας. Τοῦτο γὰρ προέθεσαν καὶ τοῦθ' ὑμῖν ἆθλον ἐξ ἐκείνου τοῦ πολέμου περιγέγονεν, ἕτερον δ' ἁπλῶς οὐδέν. Ἀλλ' ὅμως εὐδοκεῖν τούτῳ μᾶλλον, ἢ τοῖς παρὰ Καρχηδονίων φόροις· καὶ μάλα δικαίως.

« Τὸ μὲν γὰρ ἀργύριον ἐστὶ κοινόν τι πάντων ἀνθρώπων κτῆμα· τὸ δὲ καλόν, καὶ πρὸς ἔπαινον καὶ τιμὴν ἀνῆκον, θεῶν καὶ τῶν ἔγγιστα τούτοις πεφυκότων ἀνδρῶν ἐστί. Τοιγαροῦν σεμνότατον τῶν ὑμετέρων ἔργων ἡ τῶν Ἑλλήνων ἐλευθέρωσις. Τούτῳ νῦν ἐὰν μὲν

προσθῆτε τἀκόλουθον, τελειωθήσεται τὰ τῆς ἡμετέρας δόξης· ἐὰν δὲ παρίδητε, καὶ ἡ πρὶν ἐλαττωθήσεται φανερῶς. Ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες, καὶ τῆς προαιρέσεως γεγονότες αἱρετισταί, καὶ τῶν μεγίστων ἀγώνων καὶ κινδύνων ἀληθινῶν ὑμῖν μετεσχηκότες, καὶ νῦν οὐκ ἐγκαταλείπομεν τὴν τῶν φίλων τάξιν· ἀλλ' ἅ γ' ἐνομίζομεν ὑμῖν καὶ πρέπειν καὶ συμφέρειν, οὐκ ὠκνήσαμεν ὑπομνῆσαι μετὰ παρρησίας, οὐδενὸς στοχασάμενοι τῶν ἄλλων, οὐδὲ περὶ πλείονος οὐδὲν ποιησάμενοι τοῦ καθήκοντος αὐτοῖς. Οἱ μὲν οὖν Ῥόδιοι ταῦτα εἰπόντες, πᾶσιν ἐδόκουν μετρίως καὶ καλῶς διειλέχθαι περὶ τῶν προκειμένων.»

Η ΣΥΝΘΗΚΗ ΜΕΤΑ ΤΟΥ ΑΝΤΙΟΧΟΥ ΕΠΙΚΥΡΟΥΤΑΙ. — ΕΚΛΟΓΗ ΠΡΕΣΒΕΥΤΩΝ ΠΡΟΣ ΔΙΑΚΑΝΟΝΙΣΙΝ ΤΩΝ ΔΙΑΦΟΡΩΝ ΤΩΝ ΑΣΙΑΤΙΚΩΝ ΠΟΛΕΩΝ. — «Ἐπὶ δὲ τούτοις εἰσήγαγεν τοὺς παρ' Ἀντιόχου πρεσβευτάς, Ἀντίπατρον καὶ Ζεῦξιν, ὧν μετ' ἀξιώσεως καὶ παρακλήσεως ποιησαμένων τοὺς λόγους, εὐδόκησαν ταῖς γεγενημέναις ὁμολογίαις πρὸς τοὺς περὶ τὸν Σκιπίωνα κατὰ τὴν Ἀσίαν· καὶ μετά τινας ἡμέρας τοῦ δήμου συνεπικυρώσαντος, ἕτερον ὅρκια περὶ τούτων πρὸς τοὺς περὶ τὸν Ἀντίπατρον. Μετὰ δὲ ταῦτα καὶ τοὺς ἄλλους εἰσῆγον, ὅσοι παρῆσαν ἀπὸ τῆς Ἀσίας πρεσβεύοντες· ὧν ἐπὶ βραχὺ μὲν διήκουσαν, ἅπασι δὲ τὴν αὐτὴν ἔδωκαν ἀπόκρισιν· αὕτη δ' ἦν, ὅτι δέκα πρεσβεύοντες ἐξαποστελοῦσι, τοὺς ὑπὲρ ἁπάντων τῶν ἀμφισβητουμένων ταῖς πόλεσι διαγνωσομένους. Δόντες δὲ ταύτας τὰς ἀποκρίσεις, μετὰ ταῦτα κατέστησαν δέκα πρεσβευτάς, οἷς περὶ μὲν τῶν κατὰ μέρος ἔδωκαν τὴν ἐπιτροπήν· περὶ δὲ τῶν ὅλων αὐτοὶ διέλαβον, ὅτι δεῖ τῶν ἐπὶ τάδε τοῦ Ταύρου κατοικούντων, ὅσοι μὲν ὑπ' Ἀντίοχον ἐτάττοντο, τούτους Εὐμένει δοθῆναι· πλὴν Λυκίας καὶ Καρίας τὰ μέχρι Μαιάνδρου ποταμοῦ, ταῦτα δὲ Ροδίων ὑπάρχειν. Τῶν δὲ πόλεων τῶν Ἑλληνίδων, ὅσαι μὲν Ἀττάλῳ φόρον ὑπετέλουν, ταύτας τὸν αὐτὸν Εὐμένει τελεῖν· ὅσαι δὲ Ἀντιόχῳ, μόνον ταύταις ἀφεῖσθαι τὸν φόρον. Δόντες δὲ τοὺς τύπους τούτους ὑπὲρ τῆς ὅλης διοικήσεως, ἐξέπεμπον τοὺς δέκα πρὸς Γάϊον τὸν ὕπατον εἰς τὴν Ἀσίαν.»

ΑΞΙΩΣΕΙΣ ΤΩΝ ΡΟΔΙΩΝ ΥΠΕΡ ΤΩΝ ΣΟΛΩΝ ΕΝ ΚΙΛΙΚΙΑ. — «Ἤδη δὲ τούτων διφκημένων προσῆλθον αὖθις οἱ Ῥόδιοι

πρὸς τὴν σύγκλητον, ἀξιοῦντες περὶ Σόλων τῶν Κιλικίων· διὰ γὰρ τὴν συγγένειαν ἔφασαν καθήκειν αὐτοῖς, προνοεῖσθαι τῆς πόλεως ταύτης. Εἶναι γὰρ Ἀργείων ἀποίκους Σολεῖς, καθάπερ καὶ Ροδίους· ἐξ ὧν ἀδελφικὴν οὖσαν ἀπεδείκνυον τὴν συγγένειαν πρὸς ἀλλήλους, ὧν ἕνεκα δίκαιον ἔφασαν εἶναι τυχεῖν αὐτοὺς τῆς ἐλευθερίας ὑπὸ Ρωμαίων, διὰ τῆς Ροδίων χάριτος. Ἡ δὲ σύγκλητος διακούσασα περὶ τούτων εἰσεκαλέσατο τοὺς παρ' Ἀντιόχου πρεσβευτάς· καὶ τὸ μὲν πρῶτον ἐπέταττε πάσης Κιλικίας ἐκχωρεῖν τὸν Ἀντίοχον· οὐ προσδεχομένων δὲ τῶν περὶ τὸν Ἀντίπατρον, διὰ τὸ παρὰ τὰς συνθήκας εἶναι, πάλιν ὑπὲρ αὐτῶν τῶν Σόλων ἐποιοῦντο τὸν λόγον. Φιλοτίμως δὲ πρὸς τοῦτο διερειδομένων τῶν πρεσβευτῶν, τούτους μὲν ἀπέλυσαν· τοὺς δὲ Ροδίους εἰσκαλεσάμενοι, διεσάφουν τὰ συναντώμενα παρὰ τῶν περὶ τὸν Ἀντίπατρον, καὶ προσεπέλεγον, ὅτι πᾶν ὑπομενοῦσιν, εἰ πάντως τοῦτο κέκριται Ροδίους. Τῶν δὲ πρεσβευτῶν εὐδοκουμένων τῇ φιλοτιμίᾳ τῆς συγκλήτου, καὶ φασκόντων, οὐδὲν ἔτι πέρα ζητεῖν· ταῦτα μὲν ἐπὶ τῶν ὑποκειμένων ἔμεινεν» 1)

ΝΑΥΤΙΚΟΣ ΘΡΙΑΜΒΟΣ ΤΟΥ Λ. ΑΙΜΙΛΙΟΥ. — Καθ' ἣν στιγμὴν οἵ τε δέκα πρεσβευταὶ τῶν Ρωμαίων καὶ τῶν ἄλλων ἐπεβιβάζοντο δι' Ἀσίαν, οἱ Σκηπίωνες καὶ ὁ Λ. Αἰμίλιος, ὁ κατὰ θάλασσαν νικητὴς τοῦ Ἀντιόχου, ἀπεβιβάζοντο εἰς Βριντήσιον τῆς Ἰταλίας. Μετά τινας ἡμέρας εἰσήρχοντο εἰς τὴν Ρώμην, ἔνθα λαμπροτάτη ἀνέμενεν αὐτοὺς ὑποδοχή. Ὁ Λ. Αἰμίλιος, εἰσαχθεὶς εἰς τὴν σύγκλητον, ἀπηρίθμησε τὰς δυνάμεις, αἵτινες ἔλαβον χώραν εἰς τὸν πόλεμον, ἀνέφερε τὸ ποσὸν τῶν πλοίων, ἃ συνέλαβε καὶ κατεβύθισε, οἱ δὲ συγκλητικοὶ ὁμοφώνως ἀπένειμον αὐτῷ τὸν ναυτικὸν θρίαμβον. Κατὰ τὴν τελετὴν ταύτην ἔφερον ἐνώπιον αὐτοῦ 49 χρυσοῦς στεφάνους, 34700 ἀττικὰς τετραδράχμους καὶ 131300 κιστοφόρους, ποσὸν λίαν εὐτελὲς συγκριτικῶς τῇ ἰσχύϊ τοῦ ἡττηθέντος βασιλέως.

ΘΡΙΑΜΒΟΣ ΤΟΥ Α. ΣΚΙΠΙΩΝΟΣ. — Ὁ Λ. Σκιπίων, ὅστις, φθονῶν τὴν δόξαν τοῦ ἀδελφοῦ αὐτοῦ, ἐπεκλήθη Ἀσιατικὸς ἔδωκε λόγον ἐπίσης τῶν πράξεων αὐτοῦ ἔν τε τῇ συγκλήτῳ καὶ ἐνώπιον

(1) Πολυβ. βιβλ. 22, 1—8.

τοῦ ρωμαϊκοῦ λαοῦ. Ἐξέθεσε τὸ σπουδαῖον τοῦ πολέμου, ὃν διεξήγαγε κατὰ τῶν συνηνωμένων δυνάμεων τῆς Ἀσίας, κατὰ τῶν ἐπικουριῶν τῶν διαφόρων λαῶν, τῶν προσκληθέντων ἐκ τῶν ἐνδοτέρων τῆς Ἀνατολῆς, ἡ δὲ σύγκλητος ἀπένειμεν αὐτῷ τὰς τιμὰς τοῦ θριάμβου, ὃν ἑώρατασαν μετὰ ἓν ἔτος τῆς ὑπατείας του. Ὁ Λεύκιος ἤγαγεν ἐνώπιον αὐτοῦ 234 σημαίας, 134 ἀνδριάντας πόλεων 1231 ὁδόντας Ἐλεφάντων, 234 χρυσοῦς στεφάνους, 137420 λίτρας ἀργύρου, 224 χιλιάδας ἀττικῶν τετραδράχμων, 331 χιλ. κιστοφόρων, 140 χιλ. χρυσοῦς φιλιππικούς, 1424 λίτρας ἀργύρου ἐν δοχείοις ἀργυροῖς τορευτοῖς καὶ 1024 ἐν χρυσοῖς δοχείοις. Οἱ Σύριοι στρατηγοί, οἱ ὑπασπισταὶ τοῦ βασιλέως καὶ οἱ ἑταῖροι αὐτοῦ, τριάκοντα δύο ἐν ὅλοις, προηγοῦντο τοῦ ἅρματος. Οἱ πεζοὶ στρατιῶται ἔλαβον ἀνὰ 25 δηνάρια, οἱ ἑκατόνταρχοι ἀνὰ 50 καὶ οἱ ἱππεῖς ἀνὰ 75· ἡ διανεμηθεῖσα ἑκάστῳ ποσότης σίτου ἦν διπλασία. 1)

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ.

Ἐκστρατεία Κν. Μανλίου κατὰ τῶν Γαλατῶν. (189 Π. Χ.)

ΕΚΣΤΡΑΤΕΙΑ ΤΟΥ ΕΠΑΡΧΟΥ ΦΑΒΙΟΥ ΛΑΒΑΙΟΥ ΕΝ ΚΡΗΤΗ. — Ἐντοσούτῳ ὁ ὕπατος Κν. Μάνλιος ἀφίκετο ἐν Ἀσίᾳ (189 Π. Χ), ὁ δὲ ἔπαρχος Κ. Φάβιος Λάβαιος, διάδοχος τοῦ Λ. Αἰμιλίου, ἦλθε ἀναληψόμενος τὴν ναυαρχίαν. Ἀφοῦ ἐξήτασε πρὸς ποῖον μέρος ἔπρεπε νὰ στρέψῃ τὰ ὅπλα αὐτοῦ, ἀπεφάσισεν, ἵνα μὴ μένῃ ἀπρακτῶν, νὰ μεταβῇ εἰς Κρήτην, ἔνθα πολλοὶ Ρωμαῖοι ἢ Ἰταλοὶ αἰχμάλωτοι διετέλουν εἰς δουλείαν καὶ ἔνθα ἡ πόλις τῆς Κυδωνίας ἐπολέμει μετὰ τῆς Γόρτονος καὶ Κνωσσοῦ. Ἀποπλεύσας ἐξ Ἐφέσου μετὰ τοῦ στόλου του, κατέπλευσεν εἰς Κρήτην καὶ διέταξεν εἰς τὰς πόλεις ταύτας νὰ δώσωσι τέλος εἰς τὰς ἐχθροπραξίας, ν' ἀναζητήσωσι καὶ ἀνεύρωσι τοὺς Ρωμαίους αἰχμαλώτους

(1) Τιτ. Λιβ. βιβλ. 42, 58 καὶ 59.

καὶ προσαγάγωσιν αὐτῷ, ὑποσχεθεὶς νὰ πέμψῃ πρέσβεις πρὸς διαπραγμάτευσιν καὶ διευθέτησιν τῶν κοινῶν συμφερόντων τῶν Κρητῶν καὶ Ρωμαίων. Κατὰ τὸν Τίτον Λίβιον οἱ Κρῆτες οὐδεμίαν ἔδωκαν προσοχὴν εἰς τὰς διαταγὰς αὐτοῦ, ἀλλὰ ὁ Βαλέριος Ἄντιος διϊσχυρίζεται ὅτι οἱ Κρῆτες, φοβούμενοι πόλεμόν τινα μετὰ τῆς Ρώμης ἠναγκάσθησαν νὰ ἐκδώσωσι 4 χιλ. ἀϊφμαλώτων καὶ ὅτι ἕνεκα τούτου ὁ Φάβιος ἔτυχε τῶν τιμῶν τοῦ ναυτικοῦ θριάμβου.

Ἐκ τῆς Κρήτης ὁ Φάβιος ἐπανῆλθεν εἰς Ἔφεσον, ὅθεν ἀπέστειλε τρεῖς ναῦς πρὸς τὰ παράλια τῆς Θράκης ὅπως ἐκδιώξωσιν ἐξ Αἴνου καὶ Μαρωνείας τὰς φρουρὰς τοῦ Ἀντιόχου καὶ ἐλευθερώσωσι τὰς δύω ταύτας πόλεις 1),

Ο ΜΑΝΛΙΟΣ ΠΑΡΑΣΚΕΥΑΖΕΤΑΙ ΝΑ ΠΡΟΣΒΑΛΗ ΤΟΥΣ ΓΑΛΑΤΑΣ. — Περὶ τὰς ἀρχὰς τοῦ ἔαρος ὁ Μάνλιος ἀφίκετο εἰς Ἔφεσον καὶ ἀνέλαβεν ἐκ τῶν χειρῶν τοῦ Λ. Σκιπίωνος τὴν ἀρχιστρατηγίαν· ἐπεθεώρησε τὸν στρατόν, ἐπήνεσε τὴν γενναιότητα καὶ ἀνδρείαν, δι' ἧς μόνον, ἐν μιᾷ μάχῃ, κατώρθωσαν νὰ ἀποπερατώσωσι τὸν κατὰ τοῦ Ἀντιόχου πόλεμον καί, ἀποκαλύψας τὰ σχέδια αὐτοῦ, ἐξώρκισεν αὐτοὺς ν' ἀναλάβωσι νέαν ἐκστρατείαν, κατὰ τῶν Γαλατῶν ἤδη, ὅπως τιμωρήσωσιν αὐτοὺς ὡς βοηθήσαντας τὸν βασιλέα τῆς Συρίας. Ὁ στρατὸς ἐχειροκρότησεν αὐτὸν μετ' ἐνθουσιασμοῦ, πεποιθὼς ὅτι ἐχθρὸς ἡττηθεὶς ἅπαξ συμμαχικῶς πολεμῶν μετὰ τοῦ Ἀντιόχου, εὐχερῶς θὰ κατεβάλετο, μόνος πολεμῶν ἤδη.

ΑΝΑΧΩΡΗΣΙΣ ΤΟΥ ΣΤΡΑΤΟΥ. — Ὁ Εὐμένης εὑρίσκετο τότε ἐν Ρώμῃ. Ὅθεν ὁ Μάνλιος ἐπεκαλέσθη τὴν ἐπικουρίαν τοῦ βασιλέως τῆς Περγάμου Ἀττάλου, ἀδελφοῦ τοῦ Εὐμένους. Μετ' ὀλίγας ἡμέρας ὁ Ἄτταλος προσῆλθε τῷ ὑπάτῳ, ἀναχωρήσαντι ἤδη ἐξ Ἐφέσου, μετὰ 1000 πεζῶν καὶ 200 ἱππέων, διατάξας τὸν ἀδελφὸν αὐτοῦ Ἀθήναιον νὰ ἀκολουθήσῃ αὐτὸν μετὰ τοῦ λοιποῦ στρατοῦ καὶ ἀφήσῃ τὴν φρούρησιν τῆς Περγάμου εἰς τοὺς μᾶλλον ἀφωσιωμένους τῷ ἀδελφῷ αὐτοῦ καὶ εἰς τὰ συμφέροντα τοῦ κράτους αὐτοῦ. Ὁ ὕπατος εὐχαριστήσας αὐτὸν διὰ τὴν προθυμίαν του ταύτην, προυχώρησε μεθ' ἁπασῶν τῶν δυνάμεων καὶ ἐστρατοπέδευσεν εἰς

(1) Τιτ. Λιβ. βιβ. 42, 60.

τὰς ὄχθας τοῦ Μαιάνδρου, ἀναμένων τὰς λέμβους, δι' ὧν θὰ διήρχετο τὸν ποταμόν 1).

Ο ΜΑΝΛΙΟΣ ΑΝΕΡΧΕΤΑΙ ΤΗΝ ΠΕΔΙΑΔΑ ΤΟΥ ΜΑΙΑΝΔΡΟΥ. — Διελθὼν τὸν ποταμόν, ἀφίκετο εἰς Ἱεροκώμην, ὅθεν μετὰ δύω ἡμερῶν πορείαν, ἀφίκετο μέχρι τῶν ὀχθῶν τοῦ Ἁρπάσσου. Οἱ πρέσβεις τῶν Ἀλαβάνδων προσῆλθον νὰ παρακαλέσωσι τὸν ὕπατον ὅπως ὑπαγάγῃ εἰς τὴν κυριαρχίαν αὐτοῦ φρούριόν τι, ὅπερ ἠρνεῖτο ν' ἀναγνωρίσῃ αὐτούς. Ἐπὶ τούτοις ὁ Ἀθήναιος, ἀδελφὸς τοῦ Εὐμένους καὶ Ἀττάλου, προσῆλθε μετὰ ἐπικουρίας 1000 πεζῶν καὶ 300 ἱππέων. Ὁ ὕπατος, ἀποστείλας τάγμα τι πρὸς κατοχὴν τοῦ ἐν λόγῳ φρουρίου καὶ παράδοσιν αὐτοῦ τοῖς Ἀλαβανδηνοῖς, ἐξηκολούθησε τὴν πορείαν αὐτοῦ καὶ ἐστρατοπέδευσε παρὰ τῇ Ἀντιοχείᾳ, κειμένῃ ἐπὶ τοῦ Μαιάνδρου. Ἐκεῖ συνηντήθη μετὰ τοῦ Σελεύκου, υἱοῦ τοῦ Ἀντιόχου, προσερχομένου νὰ παραδώσῃ τῷ Ρωμαϊκῷ στρατῷ τὸ ποσὸν τοῦ σίτου, ὅπερ ὁ πατὴρ αὐτοῦ, δυνάμει τῆς μετὰ τοῦ Σκιπίωνος συνθήκης ὑποχρεοῦτο νὰ παραδώσῃ.

ΔΙΕΓΘΥΝΕΤΑΙ ΕΙΣ ΠΙΣΙΔΙΚΗΝ. — Ἐξ Ἀντιοχείας οἱ Ρωμαῖοι διηυθύνθησαν εἰς Γορδιότειχον καὶ μετὰ τριῶν ἡμερῶν πορείαν ἀφίκοντο εἰς Τάβεις ἐπὶ τῶν ὁρίων τῆς Πισιδικῆς, ἐπὶ τῆς πρὸς τὴν θάλασσαν τῆς Παμφυλίας κειμένης παραλίας. Οἱ κάτοικοι τῶν χωρῶν τούτων, ἦσαν ὡς ἄλλοτε μάχιμοι καὶ τὸ Πισιδικὸν ἱππικὸν σπουδαίως ἐπησχόλησε τοὺς Ρωμαίους. Τέλος δμως ἠναγκάσθησαν, ἀπέναντι τοῦ ἀριθμοῦ τοῦ ἐχθροῦ, νὰ ὑποχωρήσωσι καὶ παραδώσωσι τὴν πόλιν, εἰς ἣν ὁ νικητὴς ἐπέβαλε φόρον 25 ταλάντων καὶ 100 μεδίμνων πυρῶν.

ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΚΑΒΑΛΙΑΝ — Μετὰ τρεῖς ἡμέρας ἀφίκοντο εἰς τὸν ποταμὸν Χάον καὶ ἐκεῖθεν εἰς Ἔριζαν ἔνθα ἔστησαν τρόπαιον. Ἐκεῖθεν ἀφίκοντο παρὰ τῷ φρουρίῳ Θαδουσίῳ, ὅπερ δεσπόζει τοῦ ποταμοῦ Ἰνδοῦ, ἐπικληθέντος οὕτω διότι Ἰνδός τις ἐπνίγη ἐν αὐτῷ μετὰ τοῦ ὑπ' αὐτὸν ἐλέφαντος. Δὲν ἦσαν λίαν μακρὰν τῶν Κιβύρων, ὧν ὁ τύραννος Μοαγέτης, ὅστις κατεῖχεν ἐκτὸς ἄλλων τὸ Σίλλυον καὶ τὴν ἐν Τεμένει πόλιν, ἠναγκάσθη ὑπὸ τῶν ἀ-

(1) Τιτ. Λιβ 38, 12.

πειλῶν τοῦ Μανλίου νὰ ὑποταγῇ καί, διὰ τῆς προσφορᾶς 10,000 μεδίμνων σίτου καὶ ἑκατὸν ταλάντων ἀργυρῶν, ἠξιώθη τῆς φιλίας τοῦ Ρωμαϊκοῦ λαοῦ.

Ἐκ Κιβύρων ὁ στρατὸς ἔφθασεν εἰς τὴν χώραν τῶν Σινδαίων, διῆλθε τὸν Καύλαρα καὶ ἐστρατοπέδευσεν ἐπὶ τῶν ὀχθῶν τοῦ ποταμοῦ τούτου. Τῇ ἐπαύριον διῆλθε τὰ ἔλη τῆς Καραλίδος, ἔφθασεν εἰς Μανδρόπολιν καὶ προὐχώρησεν ἐκεῖθεν μέχρι Λαγῶνος, πόλεως εὐδαιμονούσης, ἧς οἱ κάτοικοι ἀπεχώρησαν ἀφίσαντες αὐτὴν εἰς τὴν διάκρισιν τοῦ ρωμαϊκοῦ στρατοῦ, ὅστις ἐλεηλάτησαν αὐτήν. Ἐκεῖθεν ἀφίκετο εἰς τὰς πηγὰς τῆς Λουσίδος καὶ τῇ ἐπαύριον εἰς τὰς ὄχθας τοῦ Κοβολάτου.

ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΠΑΜΦΙΛΙΑΝ. — «Κατὰ τὸν καιρόν, ἡνίκα Γνάϊος (Μάνλιος) διήει τὸν Κολοβάτον προσαγορευόμενον ποταμὸν, ἦλθον πρὸς αὐτὸν πρέσβεις ἐκ τῆς Ἰσιόνδα προσαγορευομένης πόλεως, δεόμενοι σφίσι βοηθῆσαι. Τοὺς γὰρ Τερμησσεῖς, ἐπισπασαμένους Φιλόμηλον, τήν τε χώραν ἔφασαν αὐτῶν ἀνάστατον πεποιηκέναι, καὶ τὴν πόλιν διηρπακέναι, νῦν τε πολιορκεῖν τὴν ἄκραν, συμπεφευγότων εἰς αὐτὴν πάντων τῶν πολιτῶν, ὁμοῦ γυναιξὶ καὶ τέκνοις, ὧν διακούσας ὁ Γνάϊος, ἐκείνοις μὲν ὑπέσχετο βοηθήσειν μετὰ μεγάλης χάριτος· αὐτὸς δὲ νομίσας ἕρμαιον εἶναι τὸ προσεπτωκός, ἐποιεῖτο τὴν πορείαν ὡς ἐπὶ Παμφυλίας. Ὁ δὲ Γνάϊος (Μάνλιος), συνεγγίσας τῇ Τερμησσῷ, πρὸς μὲν τούτοις συνέθετο φιλίαν, λαβὼν τὰ τάλαντα, παραπλησίως δὲ καὶ πρὸς Ἀσπενδίους. Ἀποδεξάμενος δὲ καὶ τοὺς παρὰ τῶν ἄλλων πόλεων πρεσβευτὰς κατὰ τὴν Παμφυλίαν καὶ τὴν προειρημένην δόξαν ἐνεργησάμενος ἑκάστοις κατὰ τὰς ἐντεύξεις, ἅμα δὲ καὶ τοὺς Ἰσιονδεῖς ἐξελόμενος ἐκ τῆς πολιορκίας, αὖθις ἐποιεῖτο τὴν πορείαν ὡς ἐπὶ τοὺς Γαλάτας.» 1)

ΠΡΟΧΩΡΕΙ ΕΙΣ ΓΑΛΑΤΙΑΝ ΔΙΑ ΤΗΣ ΠΙΣΙΔΙΚΗΣ. — Ἐκεῖθεν ἐπρόκειτο νὰ διευθυνθῇ εἰς τὰς πόλεις τῆς Κιλικίας, ὁπότε ταῖς ἐνστάσεσι δύο ὑπασπιστῶν αὐτοῦ ὑπείκων, ἐσκέφθη ν' ἀναστείλῃ τὴν πρὸς τὸ μέρος ἐκεῖνο πορείαν καὶ, ἐπιστρέφων, εἰς Παμφυλίαν,

(1) Πολυβ. βιβλ. 22, 18.

ἐστρατοπέδευσε τὴν μὲν πρώτην ἡμέραν εἰς τὰς ὄχθας τοῦ ποταμοῦ Ταύρου καὶ τῇ ἐπαύριον παρὰ τὴν Ξυλίνην Κώμην, ἐξηκολούθησες τὴν πορείαν αὐτοῦ μέχρι Κυρμάσων, ἔνθα πολλὰ συνέλεξε λάφυρα. Ἐκεῖθεν μετέβη εἰς Δάρσαν, καὶ οἱ κάτοικοι φόβῳ καταληφθέντες ἀνεχώρησαν, ἀφήσαντες ἀφθόνους ζωοτροφίας, ἃς κατέλαβεν. Ὁ στρατὸς ἦν εἰς τὰς ὄχθας τῶν πλησίων ἁλυκῶν τῆς πόλεως ταύτης, ὁπότε πρέσβεις ἐκ Λυσινόης ἀφικόμενοι παρέδωσαν τὴν πόλιν αὐτῶν εἰς τὰς χεῖρας τοῦ ὑπάτου. Ἐκεῖθεν μετέβη εἰς Σαγαλασσόν, κατοικουμένην ὑπὸ Πισιδῶν, λαοῦ μαχιμωτάτου, ἧς τὰ περίχωρα ἐλεηλάτει μέχρις ὅτου πρέσβεις ἐλθόντες καὶ προσφέροντες φόρον 50 ταλάντων, 20 χιλ. μεδίμνους κριθῆς καὶ δισμυρίους μεδίμνους πυρῶν ἔλαβον ὡς ἀντάλλαγμα τὴν φιλίαν τῶν Ρωμαίων.

ΑΝΕΡΧΕΤΑΙ ΕΙΣ ΦΡΥΓΙΑΝ. — Ἐκεῖθεν ἀφίκοντο μέχρι τῶν πηγῶν τῆς Ὀβρίμης καὶ ἐστρατοπέδευσαν παρὰ τῇ Ἀγαρίδος Κώμῃ, ἔνθα ἐγκατέλειπον τοὺς ἀσθενεῖς καὶ τὰς περιττὰς ἀποσκευὰς καὶ ὅθεν προὐχώρησαν μέχρι τοῦ πεδίου τῆς Μητροπόλεως καὶ τῇ ἐπαύριον ἀφίκοντο εἰς Δινίαν τῆς Φρυγίας καὶ εἶτα μέχρι Συννάδων, λεηλατήσαντες ἁπάσας ταύτας τὰς πόλεις. Προχωροῦντες ἀφίκοντο εἰς Βεβδον καὶ ἐστρατοπέδευσαν εἰς Ἀνάβουρα, τὴν μὲν δευτέραν ἡμέραν προχωρήσαντες μέχρι Ἀλάνδρου, τὴν δὲ τρίτην μέχρις Ἀββάσου. Ἐκεῖ διέμειναν ἡμέρας τινας, καθόσον εἶχον φθάσει εἰς τὰ ὅρια τῶν Τολιστοβοΐων Γαλατῶν.

ΑΝΑΦΕΛΕΙΣ ΔΙΑΠΡΑΓΜΑΤΕΥΣΕΙΣ ΜΕΤΑ ΤΩΝ ΑΡΧΗΓΩΝ ΤΩΝ ΓΑΛΑΤΩΝ. — Ὁ ὕπατος. πρὶν ἄρξηται τῶν ἐχθροπραξιῶν, ἐξέπεμψε πρέσβεις πρὸς τὸν Ἐποσόγνατον, τὸν μόνον ἐκ τῶν μικρῶν βασιλέων τῆς Ἀσίας τὸν διατελέσαντα πιστὸν τῷ Εὐμένει καὶ ἀρνηθέντα πᾶσαν ἐπικουρίαν τῷ Ἀντιόχῳ κατὰ τῶν Ρωμαίων.

Ἀκολούθως ἤρξατο τῆς πορείας καὶ ἀφίκετο τὴν πρώτην ἡμέραν ἐπὶ τῶν ὀχθῶν τοῦ ποταμοῦ Ἀλάνδρου καὶ τῇ ἐπαύριον εἰς Τύσκωνα, ἔνθα ἐδέξατο τοὺς πρεσβευτὰς τοῦ Ὀροάνδου, προσερχομένους ἐκζητῆσαι τὴν εἰρήνην, ἣν ὑπεσχέθη διὰ τῆς προσφορᾶς 200 ταλάντων, ἐπιτρέψας αὐτοῖς νὰ μεταβῶσι καὶ ζητήσωσι νέας ὁδηγίας ἐπὶ τῶν προτάσεων τοῦ ὑπάτου. Ἐκεῖθεν ὁ Μάνλιος ὥδευσεν εἰς Πλιτάνδα καὶ ἐκεῖθεν προχωρήσας ἐστρατοπέδευσε περὶ

τὰ Ἀλύαττα, ἔνθα ἐδέξατο τοὺς πρεσβευτὰς, οὓς εἶχεν ἀποστείλει πρὸς τὴν Ἐποσόγνατον, συνοδευομένους μετὰ τῶν πρεσβευτῶν αὐτοῦ, οἵτινες προσήρχοντο νὰ παρακαλέσωσιν αὐτὸν ὅπως μὴ ἐπιτεθῇ κατὰ τῶν Τολιστοβοΐων Γαλατῶν, καθόσον ὁ Ἐποσόγνατος ἐπρόκειτο ἀντιπροσώπως νὰ μεταβῇ παρ' αὐτοῖς καὶ ἀναγκάσῃ αὐτοὺς νὰ παραδοθῶσιν. Ὁ ὕπατος συγκατετέθη. Ὁ στρατὸς ἀκολούθως προυχώρησε διὰ τῆς Ἀξύλου καλουμένης χώρας. Ἐνῷ ὁ Ρωμαϊκὸς στρατὸς ἐστρατοπέδευε παρὰ τὰ Κύβαλλα, φρούριον τῶν Γαλλοελλήνων, τὸ ἐχθρικὸν ἱππικὸν ἐπεφάνη, κατέλαβε τὰς ὀχυρωτέρας θέσεις καὶ ἐπετέθη κατὰ τῶν Ρωμαίων, τὴν ἀταξίαν αὐτοῖς ἐνσπείρας καὶ πολλοὺς αὐτῶν ἀποκτείνας. Ἀλλά, τοῦ ρωμαϊκοῦ ἱππικοῦ ἐξελθόντος, οἱ Γαλάται ἐτράπησαν εἰς φυγήν, ἀφήσαντες ἀρκετοὺς νεκροὺς ἐν τῷ πεδίῳ τῆς μάχης. Ἔκτοτε ὁ ὕπατος, καθορῶν ὅτι εὑρίσκεται ἐπὶ τῆς χώρας τῶν ἐχθρῶν, ἤρξατο προφυλαττόμενος καὶ προχωρῶν μετὰ πολλῆς τῆς ἐπιφυλάξεως 1).

ΟΙ ΙΕΡΕΙΣ ΤΗΣ ΚΥΒΕΛΛΗΣ ΠΑΡΟΥΣΙΑΖΟΝΤΑΙ ΤΩ ΜΑΝΛΙΩ. — «Γνάϊος (Μάνλιος) ὁ ὕπατος τῶν Ρωμαίων διερχόμενος ἐγεφύρωσε τὸν Σαγγάριον ποταμόν, τελέως κοῖλον ὄντα καὶ δύσβατον. Καὶ παρ' αὐτὸν τὸν ποταμὸν στρατοπεδευσαμένῳ παραγίγονται Γάλλοι παρὰ Ἄττιδος καὶ Βαττάκου τῶν ἐκ Πεσσινοῦντος ἱερέων τῆς Μητρὸς τῶν θεῶν, ἔχοντες προστηθίδια καὶ τύπους, φάσκοντες προσαγγέλλειν τὴν θεὸν νίκην καὶ κράτος· οὓς Γνάϊος φιλανθρώπως προσεδέξατο.

«Ὄντος δὲ τοῦ Γναΐου πρὸς τὸ πολισμάτιον τὸ καλούμενον Γορδιεῖον, ἦκον παρ' Ἐποσογνάτου πρέσβεις ἀναθηλοῦντες, ὅτι παρευθεὶς διαλεχθείη τοῖς τῶν Γαλατῶν βασιλεῦσιν· οἱ δ' ἁπλῶς εἰς οὐδὲν συγκαταβαίνοιεν φιλάνθρωπον, ἀλλ' ἠθροικότες ὁμοῦ τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ἅπασαν εἰς τὸ καλούμενον ὄρος Ὄλυμπον, ἕτοιμοι εἰς μάχην εἰσίν.» 2)

ΜΑΧΗ ΕΝ ΟΛΥΜΠΩ. — Οἱ πρεσβευταὶ τοῦ Ὀροάνδου, οἵτινες ἀφίκοντο ὀλίγον ὕστερον, ἀνήγγειλον ὅτι οἱ μὲν Τολιστοβόϊοι κα-

(1) Τιτ. Λιβ. 38, 18.

(2) Πολυβ. βιβλ. 22, 20.

τέφυγον ἅπαντες εἰς τὸ ὄρος Ὄλυμπον, οἱ δὲ Τεκτοσάγοι εἰς ἕτερον ὄρος καλούμενον Μαγαβᾶ, οἱ δὲ Τρῶγμοι ἠκολούθησαν σὺν γυναιξὶ καὶ τέκνοις αὐτούς. Τῶν τριῶν τούτων λαῶν ἦρχον ὁ Ὀρτιάγων, ὁ Κομβολαμάρης καὶ ὁ Καυλῶτος. Διὰ τοῦ σχεδίου τῆς εἰς τὰ ὑψηλὰ ὄρη καταφυγῆς αὐτῶν προὐτίθεντο νὰ καταστρέψωσι τοὺς Ρωμαίους διὰ τοῦ ψύχους καὶ τῆς πείνης καὶ ὅμως οἱ Ρωμαῖοι κατώρθωσαν νὰ περιβάλωσιν αὐτοὺς ἐν τῷ Ὀλύμπῳ, ἔνθα, σφοδρᾶς συναφθείσης μάχης, οἵ τε Τολιστοβόϊοι καὶ οἱ Τρῶγμοι ἡττήθησαν κατὰ κράτος.

ΗΡΩΙΚΗ ΠΡΑΞΙΣ ΤΗΣ ΧΙΟΜΑΡΑΣ. — «Χιομάραν δὲ συνέβη, τὴν Ὀρτιάγοντος (γυναῖκα), αἰχμάλωτον γενέσθαι, μετὰ τῶν ἄλλων γυναικῶν, ὅτε Ρωμαῖοι καὶ Γνάϊος ἐνίκησαν μάχῃ τοὺς ἐν Ἀσίᾳ Γαλάτας. Ὁ δὲ λαβὼν αὐτὴν ταξίαρχος, ἐχρήσατο τῇ τύχῃ στρατιωτικῶς, καὶ κατήσχυνεν· ἦν δὲ ἄρα καὶ πρὸς ἡδονὴν καὶ ἀργύριον ἀμαθὴς καὶ ἀκρατὴς ἄνθρωπος· ἡττήθη δὲ ὅμως ὑπὸ τῆς φιλαργυρίας· καὶ χρυσίου συχνοῦ διομολογηθέντος ὑπὲρ τῆς γυναικός, ἦγεν αὐτὴν ἀπολυτρώσων, ποταμοῦ τινος ἐν μέσῳ διείργοντος. Ὡς δὲ ἐπιβάντες οἱ Γαλάται τὸ χρυσίον ἔδωκαν αὐτῷ, καὶ παρέλαβον τὴν Χιομάραν, ἡ μὲν ἀπὸ νεύματος προσέταξεν ἑνί, παῖσαι τὸν Ρωμαῖον ἀσπαζόμενον αὐτὴν καὶ φιλοφρονούμενον. Ἐκείνου δὲ πεισθέντος καὶ τὴν κεφαλὴν ἀποκόψαντος, ἀραμένη καὶ περιστείλασα τοῖς κόλποις ἀπήλαυνεν. Ὡς δὲ ἦλθε πρὸς τὸν ἄνδρα, καὶ τὴν κεφαλὴν αὐτῷ προὔβαλεν ἐκείνου θαυμάσαντος, καὶ εἰπόντος· ὦ γύναι, καλὸν ἡ πίστις· ναί, εἶπεν, ἀλλὰ κάλλιον ἕνα μόνον ζῆν ἐμοὶ συγγεγενημένον. Ταύτῃ μὲν ὁ Πολύβιος, φησὶ, διὰ λόγων ἐν Σάρδεσι γενόμενος θαυμάσαι τό τε φρόνημα καὶ τὴν σύνεσιν.» 1)

ΠΟΛΕΜΟΣ ΚΑΤΑ ΤΩΝ ΤΕΚΤΟΣΑΓΩΝ. — ΠΡΟΔΟΣΙΑ ΤΩΝ ΑΡΧΗΓΩΝ ΑΥΤΩΝ. — «Τῶν Ρωμαίων, μετὰ τὴν τῶν Γαλατῶν νίκην στρατοπεδευόντων περὶ τὴν Ἄγκυραν πόλιν, καὶ τοῦ Γναΐου τοῦ στρατηγοῦ προάγειν εἰς τοὔμπροσθεν μέλλοντος· παραγίγνονται πρέσβεις παρὰ τῶν Τεκτοσάγων ἀξιοῦντες τὸν Γνάϊον, τὰς μὲν δυ-

(1) Πολυβ. βιβλ. 22, 21.

νάμεις ἐᾶσαι κατὰ χώραν, αὐτὸν δὲ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν προελθεῖν εἰς τὸν μεταξὺ τόπον τῶν στρατοπέδων· ἥξειν τε καὶ τοὺς παρ' αὐτῶν βασιλεῖς κοινολογησομένους ὑπὲρ τῶν διαλύσεων. Τοῦ δὲ Γναΐου συγκαταθεμένου καὶ παραγενηθέντος κατὰ τὸ συνταχθὲν μετὰ φ' ἱππέων· τότε μὲν οὐκ ἦλθον οἱ βασιλεῖς. Ἀνακεχωρηκότος δὲ αὐτοῦ πρὸς τὴν ἰδίαν παρεμβολήν, αὖθις ἦκον οἱ πρέσβεις ὑπὲρ μὲν τῶν βασιλέων σκήψεις τινὰς λέγοντες, ἀξιοῦντες δὲ πάλιν ἐλθεῖν αὐτόν, ὅτι τοὺς πρώτους ἄνδρας ἐκπέμψουσι κοινολογησομένους ὑπὲρ τῶν ὅλων. Ὁ δὲ Γνάϊος, κατανεύσας ἥξειν, αὐτὸς μὲν ἔμεινεν ἐπὶ τῆς ἰδίας στρατοπεδείας· Ἄτταλον δὲ καὶ τῶν χιλιάρχων τινὰς ἐξαπέστειλε μετὰ τριακοσίων ἱππέων.

«Οἱ δὲ τῶν Γαλατῶν ἦλθον μὲν κατὰ τὸ συνταχθέν, καὶ λόγους ἐποιήσαντο περὶ τῶν πραγμάτων. Τέλος δ' ἐπιθεῖναι τοῖς προειρημένοις, ἢ κυρῶσαί τι τῶν δοξάντων, οὐκ ἔφασαν εἶναι δυνατόν· τοὺς δὲ βασιλεῖς τῇ κατὰ πόδας ἥξειν διωρίζοντο, συνθησομένους καὶ πέρας ἐπιθήσοντας, εἰ καὶ Γνάϊος ὁ στρατηγὸς ἔλθοι πρὸς αὐτούς. Τῶν δὲ περὶ τὸν Ἄτταλον ἐπαγγειλαμένων, ἥξειν τὸν Γνάϊον, τότε μὲν ἐπὶ τούτοις διελύθησαν. Ἐποιοῦντο δὲ ὑπερθέσεις ταύτας οἱ Γαλάται, καὶ διεστρατήγουν τοὺς Ρωμαίους, βουλόμενοι τῶν τε σωμάτων τινὰ τῶν ἀναγκαίων καὶ τῶν χρημάτων ὑπερθέσθαι πέραν τοῦ Ἅλυος ποταμοῦ· μάλιστα δὲ τὸν στρατηγὸν τῶν Ρωμαίων, εἰ δυνηθεῖεν, λαβεῖν ὑποχείριον· εἰ δὲ μή γε, πάντως ἀποκτεῖναι. Ταῦτα δὲ προθέμενοι, κατὰ τὴν ἐπιοῦσαν ἐκαραδόκουν τὴν παρουσίαν τῶν Ρωμαίων, ἑτοίμους ἔχοντες ἱππεῖς εἰς χιλίους. Ὁ δὲ Γνάϊος, διακούσας τῶν περὶ τὸν Ἄτταλον, καὶ πεισθεὶς ἥξειν τοὺς βασιλεῖς ἐξῆλθε καθάπερ εἰώθει μετὰ φ' ἱππέων· συνέβη δὲ ταῖς πρότερον ἡμέραις τοὺς ἐπὶ τῆς ξυλείας καὶ χορτολογίας ἐκπορευομένους ἐκ τοῦ τῶν Ρωμαίων χάρακος ἐπὶ ταῦτα τὰ μέρη πεποιῆσθαι τὴν ἔφοδον, ἐφεδρείᾳ χρωμένους τοῖς ἐπὶ τὸν σύλλογον πορευομένοις ἱππεῦσιν. Οὗ καὶ τότε γενομένου, καὶ πολλῶν ἐξεληλυθότων, συνέταξαν οἱ χιλιαρχοι, καὶ τοὺς εἰθισμένους ἐφεδρεύειν τοῖς προνομεύουσιν ἱππεῖς ἐπὶ ταῦτα τὰ μέρη ποιήσασθαι τὴν ἔξοδον. Ὧν ἐκπορευ-

θέντων, αὐτομάτως τὸ δέον ἐγενήθη πρὸς τὴν ἐκφερομένην χρείαν» 1).

ΜΑΧΗ ΕΠΙ ΤΟΥ ΟΡΟΥΣ ΜΑΓΑΒΗ. — ΗΤΤΑ ΤΩΝ ΤΕΚΤΟΣΑΓΩΝ. — Ὁ ὕπατος αὐτοπροσώπως διῆλθε δύο ἡμέρας πρὸς κατασκόπευσιν τοῦ ὄρους Μαγαβῆ, τὴν δὲ τρίτην ἀπεφάσισε νὰ ἐκστρατεύσῃ. Ἀφοῦ προσέφερε τοῖς θεοῖς θυσίαν τινα, διέταξε τὸν στρατὸν αὐτοῦ εἰς τέσσαρα σώματα, ὧν δύο ὤφειλον νὰ ὠδεύσωσι ἀντιμετώπως τοῦ ἐχθροῦ, ἐνῷ τὰ δύω ἕτερα θὰ προὐχώρουν ὡς ὀπισθοφυλακή. Οἱ Τεκτοσάγοι καὶ οἱ Τρῶγμοι, οἱ ἐκλεκτοὶ τοῦ Γαλατικοῦ στρατοῦ, περὶ τὰς 50 χιλιάδας, κατεῖχον τὸ κέντρον. Τὸ ἱππικὸν ἐκ 10 χιλιάδων ἀνδρῶν συγκείμενον, οὗ οἱ ἵπποι ἦσαν ἄχρηστοι ἐν μέσῳ τῶν βράχων τούτων, κατῆλθε τῶν ἵππων καὶ ἔλαβε θέσιν κατὰ τὴν δεξιὰν πτέρυγα· ἐν τῇ ἀριστερᾷ ἐτοποθετήθησαν 4 χιλ. ἐπικούρων ὑπὸ τὰς διαταγὰς τοῦ Ἀριαράθου, βασιλέως τῆς Καππαδοκίας καὶ τοῦ Μορζία, βασιλέως τῆς Παμφυλίας, οἵτινες συνεμάχησαν μετὰ τῶν Γαλατῶν πρὸς ἄμυναν τῆς ἀνεξαρτησίας τῆς ἄνω Ἀσίας κατὰ τῆς ρωμαϊκῆς φιλοδοξίας. Ὁ ὕπατος ἔταξε τὸν στρατὸν αὐτοῦ ὡς ἐν τῷ ὄρει Ὀλύμπῳ, τάξας ἐν τῇ πρώτῃ γραμμῇ τὸν ἐλαφρῶς ἐξωπλισμένον στρατὸν, εἰς τὴν διάθεσιν τοῦ ὁποίου ἔθεσε παντοειδεῖς πολεμικὰς ἀποσκευάς. Ἀμφότεροι διετέθησαν εἰς μάχην, οἱ δὲ Γαλάται δὲν ἐτόλμων ν' ἀπομακρυνθῶσι τῶν θέσεων αὐτῶν, φοβούμενοι μὴ ἐκθέσωσι τὰ γυμνὰ αὐτῶν σώματα εἰς τὸ ἐχθρικὸν πῦρ. Ὁ Μάνλιος, γινώσκων ὅτι μόνη ἡ θέα τῶν Ρωμαϊκῶν σημαιῶν θὰ ἐνέσπειρε τοῖς Γαλάταις τὴν ἀταξίαν καὶ θὰ ἠνάγκαζεν αὐτοὺς νὰ τραπῶσιν εἰς φυγήν, διέταξε τὴν ἔφοδον τῶν ἐλαφρῶν καὶ ἄλλων ἐπικούρων καὶ τὴν εἰς τὰ πρόσω πορείαν τοῦ σώματος τῆς μάχης. 2)

Οἱ Γαλάται, πεφοβισμένοι ἐκ τῆς ἀναμνήσεως τῆς ἥττης τῶν Τολιστοβοΐων, κύπτοντες ὑπὸ τὰ βέλη, ἅπερ ἐν ταῖς πληγαῖς αὐτῶν ἔμενον, ἐξηντλημένοι καὶ ἐκλελυμένοι, δὲν ἠδυνήθησαν νὰ ἀντιστῶσιν εἰς τὴν πρώτην ἔφοδον τῶν Ρωμαίων, καὶ ἤρξαντο φεύγοντες πρὸς τὸ στρατόπεδον, ἀλλ' ὀλίγοι ἐζήτησαν ἄσυλον εἰς αὐτό·

(1) Πολυβ. βιβλ. 22, 22.
(1) Τ·τ Λιβ. ὁμ. 28.

τῶν πλείστων τραπέντων τῇδε κἀκεῖσε καὶ εἰς τὴν τύχην ἀφεθέντων. Ὁ νικητὴς κατεδίωξεν αὐτούς, τὸ ξίφος ἔχων ἀνὰ χεῖρας, μέχρι τοῦ στρατοπέδου, ἐν ᾧ τὰ ἄπειρα λάφυρα ἀνεχαίτισαν τὴν καταδίωξιν αὐτῶν. Οἱ Γαλάται ἔμεινον ἐπὶ πλέον εἰς τὰς πτέρυγας, διότι βραδύτερον συνηνώθησαν. Ὁ ὕπατος, μὴ δυνάμενος ν' ἀποσπάσῃ ἐκ τοῦ ἐχθρικοῦ στρατοπέδου τοὺς Ρωμαίους τοὺς ἐν τῇ λεηλασίᾳ προσηλωμένους, ἀπέστειλε τὰς δύω πτέρυγας πρὸς καταδίωξιν τῶν ἡττηθέντων, φονευθέντων ἐν τῇ φυγῇ μᾶλλον ἢ τῇ μάχῃ ἐπέκεινα τῶν 9 χιλ. ἐχθρῶν. Διελθόντες τὸν Ἅλυν, ἐξηκολούθησαν τὴν καταδίωξιν τοῦ ἐχθροῦ. Τὸ πλεῖστον μέρος τῶν Ρωμαίων διηνυκτέρευσεν ἐν τῷ στρατοπέδῳ τῶν Γαλατῶν, τοῦ ὑπάτου ὁδηγήσαντος τοὺς λοιποὺς ἐν τῷ ἰδίῳ στρατοπέδῳ. Τῇ ἐπαύριον ἐπεθεώρησε τοὺς αἰχμαλώτους. Τὰ λάφυρα ἦσαν ἄπειρα, καθόσον ἦσαν τὸ προϊὸν τῶν ληστειῶν ἔθνους ἀπλήστου, ὅπερ ἀπὸ τοσούτων ἐτῶν εἶχεν ὑπαγάγῃ ὑπὸ τοὺς ὄνυχας αὐτοῦ ἅπασαν τὴν ἐπὶ τάδε τοῦ Ταύρου κειμένην χώραν. Τὰ λείψανα τοῦ τῶν Γαλατῶν στρατοῦ, διασπαρέντα τὸ πρῶτον, συνελέγησαν ἀκολούθως. Ἐπειδὴ δὲ οἱ πλεῖστοι τῶν Γαλατῶν ἦσαν τραυματίαι ἢ ἄοπλοι καὶ ἐν μεγίστῃ ἀπελπισίᾳ, ἔπεμψαν πρέσβεις πρὸς τὸν ὕπατον, ζητοῦντες τὴν εἰρήνην. Ὁ Μάνλιος διέταξεν αὐτοὺς νὰ μεταβῶσιν εἰς Ἔφεσον, αὐτὸς δέ, μεσοῦντος ἤδη τοῦ φθινοπώρου, ἔσπευσε νὰ ἐγκαταλείψῃ τὰς χώρας ταύτας, ἃς αἱ χιόνες τοῦ Ταύρου καθίστων αὐτὰς ψυχροτάτας, καὶ ὁδηγήσῃ τὸν τροπαιοῦχον αὐτοῦ στρατὸν πρὸς διαχείμασιν κατὰ μῆκος τῶν παραλίων 1).

Ο ΜΑΝΛΙΟΣ ΔΕΧΕΤΑΙ ΤΑ ΣΥΓΧΑΡΗΤΗΡΙΑ ΤΩΝ ΣΥΜΜΑΧΩΝ. — «Κατὰ δὲ τοὺς καιροὺς τούτους, κατὰ τὴν Ἀσίαν Γναίου τοῦ τῶν Ρωμαίων στρατηγοῦ παραχειμάζοντος ἐν Ἐφέσῳ, κατὰ τὸν τελευταῖον ἐνιαυτὸν τῆς ὑποκειμένης Ὀλυμπιάδος (188) παρεγένοντο πρεσβεῖαι παρά τε τῶν Ἑλληνίδων πόλεων τῶν ἐπὶ τῆς Ἀσίας, καὶ παρ' ἑτέρων πλειόνων, συμφοροῦσαι στεφάνους τῷ Γναίῳ, διὰ τὸ νενικηκέναι τοὺς Γαλάτας. Ἅπαντες γὰρ οἱ τὴν ἐπὶ τάδε τοῦ Ταύρου κατοικοῦντες οὐχ οὕτως ἐχάρησαν, Ἀντιόχου λειφθέντος, ἐπὶ τῷ δοκεῖν ἀπολελύσθαι, τινὲς μὲν φόρων, οἱ δὲ φρου-

(1) Τιτ. Λιβ. ὐμ. 27. — Ἀππιαν. Συρ. 42.

ρᾶς, καθόλου δὲ πάντες βασιλικῶν προσταγμάτων, ὡς ἐπὶ τῷ τὸν ἀπὸ τῶν βαρβάρων αὐτοῖς φόβον ἀφῃρῆσθαι, καὶ δοκεῖν ἀπηλλάχθαι τῆς τούτων ὕβρεως καὶ παρανομίας. Ἦλθε δὲ καὶ παρ' Ἀντιόχου Μουσαῖος, καὶ παρὰ τῶν Γαλατῶν πρεσβευταί, βουλόμενοι μαθεῖν, ἐπὶ τίσιν αὐτοῖς δεῖ ποιεῖσθαι τὴν φιλίαν. Ὁμοίως δὲ καὶ παρὰ Ἀριαράθου, τοῦ τῶν Καππαδοκῶν βασιλέως· καὶ γὰρ οὗτος, μετασχὼν Ἀντιόχῳ τῶν αὐτῶν ἐλπίδων, καὶ κοινωνήσας τῆς πρὸς Ρωμαίους μάχης, ἐδεδίει καὶ διηπορεῖτο περὶ τῶν καθ' αὑτόν. Διὸ καὶ πλειονάκις πέμπων πρεσβευτάς, ἐβούλετο μαθεῖν, τί δοὺς ἢ τί πράξας δύναιτ' ἂν παραιτήσασθαι τὴν σφετέραν ἄγνοιαν. Ὁ δὲ στρατηγὸς τὰς μὲν παρὰ τῶν πόλεων πρεσβείας πάσας ἐπαινέσας καὶ φιλανθρώπως ἀποδεξάμενος, ἐξαπέστειλε. Τοῖς δὲ Γαλάταις ἀπεκρίθη, διότι, προσδεξάμενος Εὐμένη τὸν βασιλέα, τότε ποιήσεται καὶ πρὸς αὐτοὺς συνθήκας. Τοῖς δὲ παρὰ Ἀριαράθου εἶπεν, ἑξακόσια τάλαντα δόντας τὴν εἰρήνην ἔχειν. Πρὸς δὲ τὸν Ἀντίοχον πρεσβευτὴν συνετάξατο μετὰ τῆς δυνάμεως ἥξειν ἐπὶ τοὺς τῆς Παμφυλίας ὄρους, τά τε δισχίλια τάλαντα καὶ φ' ὡμολογημένος καὶ τὸν σῖτον, ὃν ἔδει δοῦναι τοῖς στρατιώταις αὐτοῦ πρὸ τῶν συνθηκῶν, κατὰ τὰς πρὸς Λεύκιον ὁμολογίας. Μετὰ δὲ ταῦτα, καθαρμὸν ποιησάμενος τῆς δυνάμεως, καὶ τῆς ὥρας παραδιδούσης, παραλαβὼν Ἄτταλον, ἀνέζευξε, καὶ παραγενόμενος εἰς Ἀπάμειαν ὀγδοαῖος, ἐπέμεινε τρεῖς ἡμέρας, κατὰ δὲ τὴν τετάρτην ἀναζεύξας προῆγε, χρώμενος ἐνεργοῖς ταῖς πορείαις. Ἀφικόμενος δὲ τριταῖος εἰς τὸν συνταχθέντα τόπον τοῖς περὶ Ἀντίοχον αὐτοῦ κατεστρατοπέδευσε· τῆς χορηγίας δὲ ἐλθούσης, τὸν μὲν σῖτον ἐμέτρησε ταῖς δυνάμεσι, τὰ δὲ χρήματα παδούς τινι τῶν χιλιάρχων, συνέταξε παρακομίζειν εἰς Ἀπάμειαν.

«Αὐτὸς δὲ πυνθανόμενος τὸν ἐπὶ τῆς Πέργης καθεσταμένον ὑπ' Ἀντιόχου φρούραρχον οὔτε τὴν φρουρὰν ἐξάγειν, οὔτ' αὐτὸν ἐκχωρεῖν ἐκ τῆς πόλεως, ὥρμησε μετὰ τῆς δυνάμεως ἐπὶ τὴν Πέργην. Ἐγγίζοντος δ' αὐτοῦ τῇ πόλει παρῆν ἀπ' αὐτῆς ὁ τεταγμένος ἐπὶ τῆς φρουρᾶς ἀξιῶν λθ' ἡμέρας χάριν τοῦ διαπεμψάμενος ἐρέσθαι τὸν βασιλέα, τί δεῖ ποιεῖν· ὁ δὲ Γνάϊος θεωρῶν τὸν Ἀντίοχον ἐν πᾶσι τοῖς ἄλλοις εὐσυθετοῦντα, συνεχώρησε πέμπειν καὶ πυνθάνεσθαι τοῦ βασιλέως· καὶ μετά τινας ἡμέρας πυθόμενος, παρέδωκε

τὴν πόλιν. Ὁ δὲ Γνάϊος, Λεύκιον μὲν τὸν ἀδελφὸν μετὰ τετρακισχιλίων ἐξαπέστειλε πρὸς τοὺς Ὀροανδεῖς, πειθανάγκης ἔχοντας διάθεσιν, χάριν τοῦ κομίσασθαι τὰ προσοφειλόμενα τῶν ὁμολογηθέντων χρημάτων· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀναζεύξας ἠπείγετο, σπεύδων συνάψαι τοῖς περὶ τὸν Εὐμένη. Παραγενόμενος δὲ εἰς τὴν Ἀπάμειαν, καὶ καταλαβὼν τόν τε βασιλέα καὶ τοὺς δέκα, συνήδρευε περὶ τῶν πραγμάτων. Ἔδοξεν οὖν αὐτοῖς, κυρῶσαι τὰ πρὸς Ἀντίοχον ὅρκια καὶ τὰς συνθήκας» 1).

ΟΡΙΣΤΙΚΗ ΣΥΝΘΗΚΗ ΤΩΝ ΡΩΜΑΙΩΝ ΜΕΤΑ ΤΟΥ ΑΝΤΙΟΧΟΥ. — «Ἦν δὲ τοιαύτη τις ἡ τῶν κατὰ μέρος διάταξις. Φιλίαν ὑπάρχειν Ἀντιόχῳ καὶ Ρωμαίοις εἰς ἅπαντα τὸν χρόνον, ποιοῦντι τὰ κατὰ τὰς συνθήκας. Μὴ διϊέναι βασιλέα Ἀντίοχον καὶ τοὺς ὑποταττομένους διὰ τῆς αὐτῶν χώρας ἐπὶ Ρωμαίους καὶ τοὺς συμμάχους, πολεμίους, μηδὲ χορηγεῖν αὐτοῖς μηδέν. Ὁμοίως δὲ καὶ Ρωμαίους καὶ τοὺς συμμάχους, ἐπ' Ἀντίοχον καὶ τοὺς ὑπ' ἐκεῖνον ταττομένους. Μὴ πολεμῆσαι δὲ Ἀντίοχον τοῖς ἐπὶ ταῖς νήσοις μηδὲ τοῖς κατὰ τὴν Εὐρώπην· ἐκχωρείτω δὲ πόλεων καὶ χώρας, μὴ ἐξαγαγέτω μηδὲν πλὴν τῶν ὅπλων, ὧν φέρουσιν οἱ στρατιῶται εἰ δέ τι τυγχάνουσιν ἀπενηνεγμένοι, καθιστάτωσαν πάλιν εἰς τ ς αὐτὰς πόλεις. Μηδ' ὑποδεχέσθωσαν τῶν ἐκ τοῦ Εὐμένους τοῦ βασιλέως, μήτε στρατιώτας, μητ' ἄλλον μηδένα. Εἰ δέ τινες, ἐξ ὧν ἀπολαμβάνουσιν οἱ Ρωμαῖοι πόλεων, μετὰ δυνάμεώς εἰσιν Ἀντιόχου, τούτους εἰς Ἀπάμειαν ἀποκαθιστάτωσαν· τοῖς τε Ρωμαίοις καὶ τοῖς συμμάχοις εἴ τινες εἶεν, (ἐκ τῆς Ἀντιόχου βασιλείας) εἶναι τὴν ἐξουσίαν, καὶ μένειν, εἰ βούλονται καὶ ἀποτρέχειν. Τοὺς δὲ δούλους Ρωμαίων καὶ τῶν συμμάχων ἀποδότω Ἀντίοχος, καὶ οἱ ὑπ' αὐτὸν ταττόμενοι, καὶ τοὺς ἁλόντας, καὶ τοὺς αὐτομολήσαντας, καὶ εἴ τινα αἰχμάλωτον πόθεν εἰλήφασιν. Ἀποδότω δὲ Ἀντίοχος, ἐὰν ᾖ δυνατὸν αὐτῷ, καὶ Ἀννίβαν Ἀμίλκου Καρχηδόνιον, καὶ Μνασίλοχον Ἀκαρνᾶνα, καὶ Θόαντα Αἰτωλόν, Εὐβουλίδαν καὶ Φίλωνα Χαλκιδεῖς, καὶ τῶν Αἰτωλῶν ὅσοι κοινὰς εἰλήφασιν ἀρχάς· καὶ τοὺς Ἐλέφαντας τοὺς ἐν Ἀταμείᾳ πάντας, καὶ μηκέτι ἄλλους ἐχέτω.

(2) Πολυβ. βιβλ. 22, 24 καὶ 25.

«Ἀποδότω δὲ καὶ τὰς ναῦς τὰς μακράς, καὶ τὰ ἐκ τούτων ἄρμενα καὶ τὰ σκεύη· καὶ μηκέτι ἐχέτω πλὴν Ι΄ καταφράκτων· μηδὲ τριακοντάκωπον ἐχέτω ἐλαυνόμενον, μηδὲ πολέμου ἕνεκεν, οὗ αὐτὸς κατάρχει. Μηδὲ πλείτωσαν ἐπὶ τάδε τοῦ Καλυκάδνου ἀκρωτηρίου, εἰ μὴ φόρους, ἢ πρέσβεις, ἢ ὁμήρους ἄγοιεν. Μὴ ἐξέστω δὲ Ἀντιόχῳ, μηδὲ ξενολογεῖν ἐκ τῆς ὑπὸ Ρωμαίους ταττομένης, μηδ' ὑποδεχέσθω τοὺς φεύγοντας. Ὅσαι δὲ οἰκίαι Ροδίων ἢ τῶν συμμάχων ἦσαν ἐν τῇ ὑπὸ βασιλέα Ἀντίοχον ταττομένῃ, ταύτας εἶναι Ροδίων, ὡς καὶ πρὸ τοῦ τὸν πόλεμον ἐξενεγκεῖν· καὶ εἴ τι χρῆμα ὠφείλετο αὐτοῖς, ὁμοίως ἔσται πράξιμον· καὶ εἴτι ἀπελήφθη ἀπ' αὐτῶν, ἀναζητηθὲν ἀποδοθήτω· ἀτελῆ δέ, ὁμοίως ὡς καὶ πρὸ τοῦ πολέμου, τὰ πρὸς τοὺς Ροδίους ὑπαρχέτω. Εἰ δέ τινας τῶν πόλεων, ἃς ἀποδοῦναι δεῖ Ἀντίοχον, ἑτέροις δέδωκεν Ἀντίοχος, ἐξαγέτω καὶ ἐκ τούτων τὰς φρουρὰς καὶ τοὺς ἄνδρας. Ἐὰν δέ τινες ὕστερον ἀποτρέχειν βούλονται, μὴ προσδεχέσθω. Ἀργυρίου δὲ δότω Ἀντίοχος Ἀττικοῦ Ρωμαίοις ἀρίστου τάλαντα μύρια δισχίλια ἐν ἔτεσιν ιβ΄, διδοὺς καθ' ἕκαστον ἔτος χίλια· μὴ ἔλαττον δ' ἑλκέτω τὸ τάλαντον λιτρῶν Ρωμαϊκῶν π΄, καί τοῦ σίτου φ, καὶ μ. Ἀποδότω δὲ Εὐμένει τάλαντα τνθ΄, ἐν ἔτεσι τοῖς πρώτοις έ, κατὰ τὸ ἔτος, τῷ ἐπιβαλλομένῳ καιρῷ καὶ τοῖς Ρωμαίοις· ἀποδότω δὲ καὶ τοῦ σίτου, καθὼς ἐτίμησεν ὁ βασιλεὺς Ἀντίοχος τάλαντα ρκζ΄, καὶ δραχμὰς χιλίας σ΄ ὀκτώ· ἃ συνεχώρησεν Εὐμένης λαβεῖν, γάζαν εὐαρεστουμένην ἑαυτῷ. Ὁμήρους δὲ κ΄ διδότω Ἀντίοχος, δι' ἐτῶν τριῶν ἄλλους ἀνταποστέλλων, μὴ νεωτέρους ἐτῶν ιή, μηδὲ πρεσβυτέροις μέ. Ἐὰν δέ τι διαφωνήσῃ τῶν ἀποδιδομένων χρημάτων τῷ ἐχομένῳ ἔτει ἀποδότωσαν. Ἂν δέ τινες τῶν πόλεων ἢ τῶν ἐθνῶν, πρὸς ἃ γέγραπται μὴ πολεμεῖν Ἀντίοχον, πρότεροι ἐκφέρωσι πόλεμον, ἐξέστω πολεμεῖν Ἀντιόχῳ. Τῶν δὲ ἐθνῶν καὶ πόλεων τούτων μὴ ἐχέτω τὴν κυρίαν αὐτός, μηδ' εἰς φιλίαν προσαγέσθω· περὶ δὲ τῶν ἀδικημάτων τῶν πρὸς ἀλλήλους γιγνομένων εἰς κρίσιν προσκαλείσθωσαν. Ἐὰν δέ τι θέλουσι πρὸς τὰς συνθήκας ἀμφότεροι κοινῷ δόγματι προστεθῆναι ἢ ἀφαιρεθῆναι ἀπ' αὐτῶν, ἐξέσθω.»

«Τμηθέντων δὲ τούτων τῶν ὁρκίων ἐπὶ τούτοις, εὐθέως ὁ στρατηγὸς Κόϊντον Μινούσιον Θέρμον καὶ Λεύκιον τὸν ἀδελφόν, ἄρτι

κεκομικότας τὰ χρήματα παρὰ τῶν Ὀροανδέων, εἰς Συρίαν ἐξαπέστειλε· συντάξας νομίζεσθαι τοὺς ὅρκους παρὰ τοῦ βασιλέως, καὶ διαβεβαιώσασθαι τὰ κατὰ μέρος ὑπὲρ τῶν συνθηκῶν. Πρὸς δὲ Κόϊντον Φάβιον, τὸν ἐπὶ τοῦ ναυτικοῦ στρατηγόν, ἐξέπεμψε γραμματοφόρους, κελεύων πάλιν πλεῖν αὐτὸν εἰς Πάταρα, καὶ παραλαβόντα τὰς ὑπαρχούσας αὐτόθι ναῦς διαπρῆσαι» 1) Τοῦτο ἐγένετο· ὁ δὲ Φάβιος ὑποτάξας τὴν Τελμισσόν, ἐν ᾗ ἡ αἰφνηδία αὐτοῦ ἄφιξις ἐνέσπειρε τὸν πανικόν, ἀπέπλευσε μετὰ τοῦ στόλου εἰς Ἰταλίαν.

ΔΙΑΘΕΣΕΙΣ ΥΠΕΡ ΤΩΝ ΦΙΛΩΝ ΚΑΙ ΣΥΜΜΑΧΩΝ ΤΩΝ ΡΩΜΑΙΩΝ. — «Κατὰ δὲ τὴν Ἀπάμειαν οἵ τε δέκα καὶ ὁ Γνάϊος, ὁ στρατηγὸς τῶν Ρωμαίων, διακούσαντες πάντων τῶν ἀπαντηκότων, τῆς μὲν περὶ χώρας ἢ χρημάτων ἤτινος ἑτέρου διαφερομένοις πόλεις ἀπέδωκαν, ὁμολογουμένας ἀμφοτέροις, ἐν αἷς διακριθήσονται περὶ τῶν ἀμφισβητουμένων· τὴν δὲ περὶ τῶν ὅλων ἐποιήσαντο διάληψιν τοιαύτην. Ὅσαι μὲν τῶν αὐτονόμων πόλεων πρότερον ὑπετέλουν Ἀντιόχῳ φόρον, τότε δὲ διεφύλαξαν τὴν πρὸς Ρωμαίους πίστιν, ταύτας μὲν ἀπέλυσαν τῶν φόρων, ὅσαι δ' Ἀττάλῳ σύνταξιν ἐτέλουν, ταύταις ἐπέταξαν τὸν αὐτὸν Εὐμένει διδόναι φόρον. Εἰδέ τινες ἀποστᾶσαι τῆς Ρωμαίων φιλίας Ἀντιόχῳ συνεπολέμουν, ταύτας ἐκέλευσαν Εὐμένει διδόναι τοὺς Ἀντιόχῳ διατεταγμένους φόρους. Κολοφωνίους δὲ, τοὺς τὸ Νότιον οἰκοῦντας, καὶ Κυμαίους, καὶ Μυλασσεῖς, ἀφορολογήτους ἀφῆκαν. Κλαζομενίοις δὲ καὶ δωρεὰν προσέθηκαν τὴν Δρύμουσσαν καλουμένην νῆσον. Μιλησίοις δὲ τὴν ἱερὰν χώραν ἀπεκατέστησαν, ἧς διὰ τοὺς πολεμίους πρότερον ἐξεχώρησαν. Χίους δὲ, καὶ Σμυρναίους, ἔτι δ' Ἐρυθραίους. ἔν τε τοῖς ἄλλοις προσῆγον, καὶ χώραν προσένειμαν, ἧς ἕκαστοι κατὰ τὸ παρὸν ἐπεθύμουν, καί σφισι καθήκειν ὑπελάμβανον· ἐντρεπόμενοι τὴν εὔνοιαν καὶ σπουδήν, ἣν παρέχοιντο κατὰ τὸν πόλεμον αὐτῆς. Ἀπέδωκαν δὲκαὶ Φωκαιεῦσι τὸ πάτριον πολίτευμα, καὶ τὴν χώραν, ἣν καὶ πρότερονεἶχον. Μετὰ δὲ ταῦτα Ροδίους ἐχρημάτισαν, διδόντες Λυκίας καὶ Καρίας τὰ μέχρι Μαιάνδρου ποταμοῦ, πλὴν Τελμισσοῦ. Περὶ δὲ τοῦ βασιλέως Εὐμένους καὶ τῶν ἀδελφῶν ἔντε ταῖς πρὸς

(1) Πολ. βιβλ. 22, 26.

Ἀντίοχον συνθήκαις τὴν ἐνδεχομένην πρόνοιαν ἐποιήσαντο, καὶ τότε τῆς μὲν Εὐρώπης αὐτῷ προσέθηκαν Χερρόνησον καὶ Λυσιμαχίαν, καὶ τὰ προσορροῦντα τούτοις ἐρύματα καὶ χώραν, ἧς Ἀντίοχος ἐπῆρχε· τῆς δ' Ἀσίας Φρυγίαν τὴν ἐφ' Ἑλλησπόντου, Φρυγίαν τὴν Μεγάλην, Μυσοὺς, οὓς πρότερον αὐτὸς παρεσκευάσατο, Λυκαονίαν, Μιλυάδα, Λυδίαν, Τράλλεις, Ἔφεσον, Τελμισσόν. Ταύτας μὲν οὖν ἔδωκαν Εὐμένει τὰς δωρεάς· περὶ δὲ τῆς Παμφυλίας, Εὐμένους μὲν εἶναι φάσκοντες αὐτὴν ἐπὶ τάδε τοῦ Ταύρου, τῶν δὲ παρ' Ἀντιόχου πρεσβευτῶν ἐπέκεινα, διαπορήσαντες, ἀνέθεντο περὶ τούτων εἰς σύγκλητον» 1).

ΕΠΑΝΟΔΟΣ ΤΟΥ ΜΑΝΛΙΟΥ ΕΙΣ ΕΥΡΩΠΗΝ. — Τῆς συνθήκης ταύτης ἀποπερατωθείσης, ὁ Μάνλιος, συνοδευόμενος ὑπὸ τῶν δέκα, αἱ τοῦ στρατοῦ αὐτοῦ, ἐπορεύθη εἰς Ἑλλήσποντον, ἔνθα εἶχε δώσει συνέντευξιν τοῖς ἀρχηγοῖς τῶν Γαλατῶν. Ἐκεῖ ὑπεδείξατο αὐτοῖς τοὺς ὅρους τῆς μετὰ τοῦ Εὐμένους εἰρήνης, καὶ ὧν οἱ σπουδαιότεροι ἦσαν νὰ ἀποδώσωσι τοῖς Ρωμαίοις τὰς πόλεις, ἃς παρ' αὐτῶν εἶχον ἁρπάσει, ν' ἀποκορακίσωσι τὸν νομαδικὸν αὐτῶν βίον καὶ περιορισθῶσιν ἐντὸς τῶν ὁρίων τῶν χωρῶν αὐτῶν. Εἶτα συνήγαγε πανταχόθεν τὰς ναῦς, ἃς συνήγωσε μετὰ τοῦ στόλου τοῦ Εὐμένους, ὃν ὁ ἀδελφὸς αὐτοῦ Ἀθήναιος εἶχε φέρει ἐξ Ἑλλάδος καὶ διῆλθεν εἰς Εὐρώπην μεθ' ὅλου τοῦ στρατοῦ αὐτοῦ 2).

Ο ΘΡΙΑΜΒΟΣ ΤΟΥ ΜΑΝΛΙΟΥ ΑΠΑΝΤΑ ΕΜΠΟΔΙΑ ΕΙΣ ΡΩΜΗΝ. — Ἡ ἥττα τῶν Γαλατῶν ἠντήχησε καθ' ὅλην τὴν Ἀσίαν καὶ προσέθεσε νέαν δόξαν εἰς τὸ Ρωμαϊκὸν ὄνομα. Οἱ Ἰουδαῖοι, ἐχθροὶ τῶν Συρίων καὶ τῶν συμμάχων αὐτῶν, μετ' ἐνθουσιασμοῦ ὑπεδέχθησαν τὴν εἴδησιν τῆς ἥττης ταύτης. «Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ρωμαίων ὅτι εἰσὶ δυνατοὶ ἰσχυΐ, καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προστιθεμένοις αὐτοῖς, καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἱστῶσιν αὐτοῖς φιλίαν, καὶ ὅτι εἰσὶ δυνατοὶ ἐν ἰσχύϊ.

« Καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν καὶ τὰς ἀνδραγα-

(1) Πολυβ. βιβλ. 22, 27.

(2) Τιτ. Λι. 39. Ἀππ. Συρ, 44,

θίας, ἃς ποιοῦσιν ἐν τοῖς Γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον» 1)

Ἐν Ῥώμῃ αἱ νίκαι τοῦ Μανλίου δὲν ἔτυχον τῆς ἐμπρεπούσης δοποδοχῆς. Εἰσαχθεὶς εἰς τὴν σύγκλητον, ἐξέθεσε τὰ τῆς ἐκστρατείας αὐτοῦ, ἐζήτησε νὰ εὐχαριστήσωσι τοῖς θεοῖς καὶ νὰ εἰσέλθῃ θριαμβευτικῶς εἰς τὴν πόλιν, ἀλλ' εὗρεν ὁμόψηφον σχεδὸν ἀντιπολίτευσιν παρὰ τοῖς δέκα, οἵτινες συνώδευον αὐτόν. Μεταξὺ τούτων ὁ Λ. Φάβιος Πουρπουραίων καὶ ὁ Λ. Αἰμίλιος Παῦλος ὡμίλησαν κατ' αὐτοῦ λίαν αὐστηρῶς, λέγοντες ὅτι συνοδεύσαντες αὐτὸν εἶχον ὑπ' ὄψει των τὴν συνομολόγησιν τῆς εἰρήνης μετὰ τοῦ Ἀντιόχου καὶ τὸν ὁριστικὸν καταρτισμὸν τῶν ὅρων τῆς εἰρήνης, ἧς τὰς βάσεις εἶχον θέσει μετὰ τοῦ Λ. Σκιπίωνος. Ὁ Κν. Μάνλιος τὰ πάντα ἔπραξε πρὸς ἀποτυχίαν τῆς εἰρήνης ταύτης, καὶ πρὸς δολίαν σύλληψιν τοῦ Ἀντιόχου, ὅστις, γνωρίζων τὴν ἀπιστίαν τοῦ ὑπάτου, ἀπέφυγε πάσης παγίδος. Μὴ κατωρθώσας νὰ συλλάβῃ εἰς τὴν παγίδα τὸν Ἀντίοχον, ὤρειλε νὰ διέλθῃ τὸν Ταῦρον, ὅπως βεβαίως μεταβὰς εὕρῃ αὐτὸν ἐν τῷ κράτει αὐτοῦ· ἀλλὰ ἤλλαξε γνώμην χάρις ταῖς παραστάσεσι τῶν δέκα καὶ τοῖς ῥήμασι τῆς Συβίλλης, ἥτις ὑπέδειξε κινδύνους ἐκτὸς τῶν ὁρίων ἐκείνων. Οὐδὲν ἠδυνήθη ἐντοσούτῳ νὰ ἐμποδίσῃ αὐτὸν ὅπως φθάσῃ παρὰ τὰ κράτη αὐτοῦ καὶ στρατοπεδεύσῃ ἐπὶ τῆς κορυφῆς αὐτῆς τοῦ ὄρους. Ἐλλείψει ἀφορμῆς ὅπως προσβάλῃ τὰ κράτη τοῦ Ἀντιόχου, ἐν οἷς πανταχοῦ εὕρισκε τὴν εἰρήνην, μετέβη πρὸς εὕρεσιν τῶν Γαλοελλήνων, καὶ ἄνευ τῆς ἀδείας τῆς συγκλήτου, ἄνευ τῆς θελήσεως τοῦ Ρωμαϊκοῦ λαοῦ, ἤγειρε τὸν κατ' αὐτῶν πόλεμον.

Ὁποῖος στρατηγὸς ἐτόλμησε ποτὲ νὰ ἀναλάβῃ παρομοίαν εὐθύνην; Οὐδεμία διατύπωσις διεφυλάχθη. Τοιαύτη ἐκστρατεία ἦτον οὐχὶ πόλεμος δημόσιος τοῦ Ρωμαϊκοῦ λαοῦ, ἀλλὰ λῃστεία ἀληθής. «Ἐὰν ὥδευε, προσέθεσαν, κατὰ τῶν ἐχθρῶν, εἶχε καλῶς· ἀλλ' οὐχί. Ὕπατος ἀνεξάρτητος, ἠκολούθησε βῆμα πρὸς βῆμα τὸν Ἄτταλον, ἀδελφὸν τοῦ Εὐμένους ἐν ὅλαις ταῖς γωνίαις καὶ ὀπαῖς τῆς Πισιδικῆς, τῆς Λυκαονίας καὶ τῆς Φρυγίας, ζητῶν πανταχοῦ τυράννους

(1) Μακκαβαίων Πρῶτος, κεφ. 8, Ἐδαφ. 1 καὶ 2.

καὶ φρούρια. Καὶ πῶς ἐγένετο ὁ πόλεμος οὗτος, δι' ὃν γαυριᾷ; Ἐξελέξατο τοὺς τόπους, τὸν κατάλληλον χρόνον; Εἶχε σχέδιον πολέμου; Οὐχί· ὥδευσε τυχαίως, τὴν ἀπληστίαν αὐτοῦ μόνον συμβουλευόμενος. Βεβαίως ἐὰν πρέπῃ νὰ εὐχαριστήσωμεν τοὺς θεούς, πρέπει νὰ πράξωμεν τοῦτο διότι ὁ στρατὸς ἀπηλλάγη τῶν κινδύνων τῆς αὐθαιρεσίας ἀρχηγοῦ, ποδοπατήσαντος τοὺς νόμους τῆς πατρίδος καὶ τὰ δίκαια τῶν ἐθνῶν καὶ διότι δὲν ἀπηντήσαμεν ἐχθρούς, ἀλλὰ βαρβάρους, οἵτινες δὲν ἐγνώριζον νὰ ἐπωφεληθῶσι τῶν σφαλμάτων καὶ τῆς ἀσυνεσίας αὐτοῦ.» 1)

ΑΠΑΝΤΗΣΙΣ ΤΟΥ ΜΑΝΛΙΟΥ ΕΙΣ ΤΑΣ ΚΑΤ' ΑΥΤΟΥ ΚΑΤΗΓΟΡΙΑΣ. — Εἰς τὰς κατ' αὐτοῦ σφοδρὰς κατηγορίας, ὁ Μάνλιος ἀπήντησε διὰ λόγου, ὅστις διεσώθη ἐν Ρώμῃ καὶ ὃν ὁ Τίτος Λίβιος ἀντέγραψε κατὰ λέξιν.

Καὶ πρῶτον προσεπάθησε νὰ ἀποδείξῃ ὅτι ὁ πόλεμος δι' ὃν κατηγοροῦσιν αὐτοῦ ἦν ἀναγκαῖος, ἀναπόφευκτος καὶ δὲν ἠδύνατο ν' ἀναβληθῇ ἄνευ ζημίας τῶν συμμάχων τῆς Ρώμης καὶ ἔπειτα προσέθεσε. «Δὲν θὰ ἀπαιτήσω, ὦ ἄνδρες συγκλητικοί, ὅπως κρίνητε τοὺς Γαλάτας τῆς Ἀσίας κατὰ τὴν βαρβαρότητα τοῦ τῶν Γαλατῶν ἔθνους καὶ τὸ ἀπεριόριστον αὐτῶν μῖσος κατὰ τῶν Ρωμαίων. Ἐξετάσατε νῦν αὐτοὺς καθ' ἑαυτούς. Χάρις τοῖς θεοῖς, ὅτι ὁ βασιλεὺς Εὐμένης εἶναι ἐνταῦθα, καὶ ἅπασαι αἱ πόλεις τῆς Ἀσίας ἀντιπροσωπεύονται ἐνταῦθα καὶ ὅτι δύνασθε νὰ ἀκούσητε τὰ παράπονα αὐτῶν ἢ τὰς ἐμὰς δικαιολογίας. Πέμψατε, πέμψατε πρέσβεις εἰς ἅπασας τὰς πόλεις τῆς Ἀσίας καὶ ἐρωτήσατε αὐτὰς ἐὰν δὲν ἀπήλλαξα αὐτὰς ζυγοῦ ἰσχυροτέρου, ὑποτάσσων τοὺς Γαλάτας καὶ περιορίζων τὸν Ἀντίοχον πέραν τοῦ Ταύρου. Θὰ σᾶς εἴπωσιν ποσάκις αἱ γαῖαι αὐτῶν ἐλεηλατήθησαν, ἠρημώθησαν, ἐὰν ἠδύναντο νὰ λυτρώσωσι τοὺς αἰχμαλώτους αὐτῶν, ἐὰν δὲν ἤκουον συνεχῶς περὶ ἀνθρωπίνων θυσιῶν, ἐὰν τὰ τέκνα αὐτῶν δὲν προσεφέροντο θυσίαν τοῖς θεοῖς τῶν βαρβάρων τούτων. Μάλιστα, μάθετε ταῦτα. Οἱ σύμμαχοι ὑμῶν ἦσαν ὑπόφοροι τῶν Γαλατῶν καὶ, καίτοι ἐλευθερωθέντες παρ' ὑμῶν ἀπὸ τοῦ βασιλέως, θὰ ἠναγκάζοντο νὰ τελῶσι φό-

(1) Τιτ. Λιβ. βιβ. 44—46.

ρον, ἐὰν διετέλουν ἀπρακτῶν. Ἡ ἀπομάκρυνσις τοῦ Ἀντιόχου θὰ καθίστα δεσποτικωτέραν τὴν κυριαρχίαν τῶν Γαλατῶν ἐπὶ τῆς Ἀσίας καὶ θὰ ὑπέτεσεν αὐτοὺς μᾶλλον ἢ ὑμῖν τὰ ἐπὶ τάδε τοῦ Ταύρου». Ἀκολούθως προσεπάθησε νὰ ἀποδείξῃ ὅτι πολεμῶν καὶ νικῶν τοὺς Γαλάτας ἔδιδεν οὕτω τέλος εἰς τὸν πρὸς τὸν Ἀντίοχον πόλεμον, καθόσον ἠττήθησαν οὗτοι εἰς τὰς τάξεις τοῦ βασιλέως τούτου, ὅτι οἱ θεοὶ ηὐνόησαν τὰς ἀποφάσεις αὐτοῦ, ὅτι ἄνευ ἀπωλειῶν ἐνίκησεν ἰσχυρὸν ἔθνος καὶ ὅτι περιφρόνησις πρὸς τὴν θείαν Πρόνοιαν λογισθήσεται ἡ εἰς αὐτὸν ἄρνησις τῶν τιμῶν τοῦ θριάμβου 1).

Ο ΘΡΙΑΜΒΟΣ ΑΥΤΟΥ ΑΠΟΦΑΣΙΖΕΤΑΙ. — Ο ΦΘΟΝΟΣ ΣΤΡΕΦΕΤΑΙ ΚΑΤΑ ΤΩΝ ΣΚΙΠΙΩΝΩΝ. — Μεθ' ὅλας τὰς εὐγλωττους ταύτας προσπαθείας του, ἡ κατηγορία ἤθελε κατασχύσει τῆς ἀπολογίας ἐὰν οἱ συγγενεῖς καὶ φίλοι τοῦ Μανλίου δὲν διεμαρτύροντο ἐνεργετικῶς, ἐνισχυόμενοι καὶ ὑπὸ τῆς αὐθεντικότητος τῶν γεροντωτέρων, οἵτινες παρέστησαν ὅτι δὲν ὑπάρχει παράδειγμα ςρατηγοῦ νικητοῦ τῶν ἐχθρῶν, ἐκπληρώσαντος τὴν ἐντολὴν αὐτοῦ καὶ ἐπανελθόντος μετὰ τοῦ στρατοῦ αὐτοῦ, νὰ εἰσέλθῃ ἐν Ρώμῃ ἄνευ ἅρματος καὶ στεφάνων, ὡς ὁ πρῶτος ἐρχόμενος πολίτης. Αἱ αὐστηραὶ αὗται φωναὶ ἐπέβαλον ἐρύθημα τοῖς ἀντιφρονοῦσι καὶ ὁ θρίαμβος ἐπιψηφίσθη διὰ μεγάλης πλειονοψηφίας.

Ο ΑΤΤΑΛΟΣ ΠΑΡΑΚΑΛΗΘΕΙΣ ΝΑ ΠΡΟΔΩΣΗ ΤΟΝ ΑΔΕΛΦΟΝ ΤΟΥ ΑΝΕΧΑΙΤΙΣΘΗ ΥΠΟ ΤΟΥ ΙΑΤΡΟΥ ΣΤΡΑΤΙΟΥ.— «Κατὰ τὸν καιρὸν τοῦτον ἦλθε παρὰ τοῦ βασιλέως ἀδελφὸς Ἄτταλος· ἔχων μὲν πρόφασιν, εἰ καὶ μὴ τὸ κατὰ τοὺς Γαλάτας ἐγεγόνει σύμπτωμα περὶ τὴν βασιλείαν, ὅλως ἐλθεῖν εἰς τὴν Ρώμην ἕνεκεν τοῦ συγχαρῆναι τῇ συγκλήτῳ καὶ τυχεῖν ἐπισημασίας διὰ τὸ συμπεπολεμηκέναι καὶ πάντων εὐμενῶς σφίσι μετεσχηκέναι τῶν κινδύνων. Τότε δὲ καὶ διὰ τὴν Γαλατικὴν περίστασιν ἠναγκασμένος ἦκεν εἰς τὴν Ρώμην. Πάντων δὲ φιλοφρόνως αὐτὸν ὑποδεχομένων, διά τε τὴν ἐν τῇ στρατείᾳ γεγενημένην συνήθειαν καὶ διὰ τὸ δοκεῖν εὔνουν αὐτοῖς ὑπάρχειν, καὶ γιγνομένης τῆς ἀπαντήσεως ὑπὲρ τὴν προσδοκίαν, μετέωρος ἐγεννήθη ταῖς ἐλπίσιν, οὐκ εἰδὼς τὴν ἀληθινὴν αἰτίαν τῆς ὑποδοχῆς. Διὸ καὶ παρ' ὀλίγον ἦλθε τοῦ λυμήνασθαι τὰ σφέτερα πράγματα καὶ τὴν ὅλην βασιλείαν.

«Τῶν γὰρ πλείστων Ρωμαίων ἀπηλλοτριωμένων τῆς τοῦ βασιλέως Εὐμένους εὐνοίας, καὶ πεπεισμένων, αὐτὸν πλάγιον ἐν τῷ πολέμῳ γεγονέναι, λαλοῦντα τῷ Περσεῖ, καὶ τοῖς καιροῖς ἐφεδρεύοντα τοῖς κατ' αὐτῶν. Ἔνιοι τῶν ἐπιφανῶν ἀνδρῶν λαμβάνοντες εἰς τὰς χεῖρας τὸν Ἄτταλον παρεκάλουν, τὴν μὲν ὑπὲρ τἀδελφοῦ πρεσβείαν ἀποθέσθαι, περὶ δὲ αὐτοῦ ποιεῖσθαι τοὺς λόγους· βουλεύεσθαι γὰρ αὐτῷ τὴν σύγκλητον συγκατασκευάζειν ἰδίαν ἀρχὴν καὶ δυναστείαν διὰ τὴν ἀλλοτριότητα τὴν πρὸς τὸν ἀδελφόν. Ἐφ' οἷς συνέβαινε τὸν Ἄτταλον ἐπὶ πολὺ μετεωρίζεσθαι καὶ συγκατανεύειν ἐν ταῖς κατ' ἰδίαν ὁμιλίαις τοῖς εἰς τοῦτο τὸ μέρος αὐτὸν παρορμῶσι. Τέλος δὲ

πρὸς ἐνίους τῶν ἀξιολόγων ἀνδρῶν συνέθετο, παρελθὼν εἰς τὴν σύγκλητον ποιήσεσθαι τοὺς περὶ τούτων λόγους.

« Τοιαύτης δ' οὔσης τῆς διαθέσεως περὶ τὸν Ἄτταλον, ὀττευσάμενος ὁ βασιλεὺς τὸ μέλλον, ἐπιπέμπει Στράτιον τὸν ἰατρὸν εἰς τὴν Ρώμην, ὡς μεγίστην παρ' αὐτῷ πίστιν εἶχε· τὰ μὲν ὑποδείξας, τὰ δὲ ἐντειλάμενος, πᾶσαν εἰσενέγκασθαι μηχανήν, πρὸς τὸ μὴ ἀκολουθῆσαι τὸν Ἄτταλον τοῖς βουλομένοις λυμήνασθαι τὴν βασιλείαν αὐτῶν. Ὁ δὲ παραγενόμενος εἰς τὴν Ρώμην καὶ λαβὼν εἰς τὰς χεῖρας τὸν Ἄτταλον, πολλοὺς μὲν καὶ ποικίλους διέθετο λόγους· καὶ ἦν ὁ ἄνθρωπος ἔχων τι νουνεχὲς καὶ πειστικόν· μόλις δὲ καθίκετο τῆς προθέσεως καὶ μετεκάλεσε τὸν Ἄτταλον ἀπὸ τῆς ἀλόγου φορᾶς, θεὶς ὑπὸ τὴν ὄψιν, ὅτι κατὰ μὲν τὸ παρὸν συμβασιλεύει τἀδελφῷ, τούτῳ διαφέρων ἐκείνου, τῷ μὴ διάδημα περιτίθεσθαι, μηδὲ χρηματίζειν βασιλεύς, τὴν δὲ λοιπὴν ἴσην καὶ τὴν αὐτὴν ἔχειν ἐξουσίαν. Εἰς δὲ τὸ μέλλον ὁμολογουμένως καταλείπεται διάδοχος τῆς ἀρχῆς, οὐ μακρὰν ταύτης τῆς ἐλπίδος ὑπαρχούσης, ἅτε τοῦ βασιλέως διὰ μὲν τὴν σωματικὴν ἀσθένειαν ἀεὶ προσδοκῶντος τὴν ἐκ τοῦ βίου μετάστασιν, διὰ δὲ τὴν ἀπαιδίαν, οὐδ' εἰ βουληθείη, δυναμένου τὴν ἀρχὴν ἄλλου καταλιπεῖν· οὐδέπω γὰρ ἀναδεδειγμένος ἐτύγχανε κατὰ φύσιν υἱὸς ὢν αὐτῷ, ὁ μετὰ ταῦτα διαδεξάμενος τὴν ἀρχήν. Τὸ δὲ συνέχον, θαυμάζειν ἔφη, πόσα βλάπτει τοὺς ἐνεστῶτας καιρούς· μεγάλην γὰρ εἰδέναι πᾶσι τοῖς θεοῖς χάριν, εἰ συμπνεύσαντες, καὶ μιᾷ γνώμῃ χρώμενοι δύναιντο τὸν ἀπὸ Γαλατῶν φόβον ἀπώσασθαι, καὶ τὸν ἀπὸ τούτων ἐφεστῶτα κίνδυνον· εἰ δὲ νῦν εἰς στάσιν καὶ διαφορὰν ἥξει πρὸς τὸν ἀδελφόν, πρόδηλον εἶναι, διότι καταστρέψει τὴν βασιλείαν, καὶ στερήσει μὲν αὐτὸν καὶ τῆς παρούσης ἐξουσίας καὶ τῆς εἰς τὸ μέλλον ἐλπίδος, στερήσει δὲ καὶ τοὺς ἀδελφοὺς τῆς ἀρχῆς καὶ τῆς ἐν αὐτῇ δυναστείας. Ταῦτα δὲ καὶ τούτοις ἕτερα παραπλήσια διατιθέμενος ὁ Στράτιος, ἔπεισε τὸν Ἄτταλον μένειν ἐπὶ τῶν ὑποκειμένων.

« Διόπερ εἰσελθὼν εἰς τὴν σύγκλητον ὁ προειρημένος, συνεχάρη μὲν ἐπὶ τοῖς γεγονόσι, καὶ περὶ τῆς καθ' αὐτὸν εὐνοίας καὶ προθυμίας, ἣν παρέσχετο εἰς τὸν κατὰ τὸν Περσέα πόλεμον, ἀπελογίσατο· παραπλησίως δὲ καὶ περὶ τοῦ πέμψαι πρεσβευτὰς, τοὺς πα-

ρακαθέξοντας τὴν τῶν Γαλατῶν ἀπόνοιαν, καὶ πάλιν εἰς τὴν ἐξ ἀρχῆς αὐτοὺς ἀποκαταστήσοντας διάθεσιν, παρεκάλεσε διὰ πλειόνων Ἐποιήσατο δὲ λόγους καὶ περὶ τῆς Αἰνίων καὶ τῆς Μαρωνιτῶν πόλεως, ἀξιῶν αὐτῷ δοθῆναι ταύτας ἐν δωρεᾷ. Τὸν δὲ κατὰ τοῦ βασιλέως λόγον καὶ τὸν περὶ μερισμοῦ τῆς ἀρχῆς, εἰς τέλος παρεσιώπησεν. Ἡ δὲ σύγκλητος, ὑπολαμβάνουσα αὐτὸν πάλιν ἰδίᾳ περὶ τούτων εἰσπορεύεσθαι, τούς τε πρεσβευτὰς συμπέμψειν ὑπέσχετο, καὶ τοῖς εἰθισμένοις δώροις ἐτίμησεν αὐτὸν μεγαλοπρεπῶς· ἀπηγγείλατο δὲ καὶ τὰς προειρημένας πόλεις δώσειν. Ἐπεὶ δὲ πάραυτα τυχὼν τῶν φιλανθρωπιῶν ὥρμησεν ἐκ τῆς Ρώμης, οὐδὲν ποιήσας τῶν προσδοκωμένων· διαψευσθεῖσα τῶν ἐλπίδων ἡ σύγκλητος ἄλλο μὲν οὐδὲν εἶχε ποιήσειν· ὅτι δὲ κατὰ τὴν Ἰταλίαν ὄντος αὐτοῦ, τὴν μὲν Αἶνον καὶ τὴν Μαρώνειαν ἠλευθέρωσεν ἀθετήσασα τὴν ἐπαγγελίαν· τοὺς δὲ περὶ τὸν Πόπλιον Λικίνιον ἔπεμψε πρεσβευτὰς πρὸς τοὺς Γαλάτας· οἷς ποίας μὲν ἔδωκεν ἐντολὰς εἰπεῖν οὐ ράδιον, στοχάζεσθαι δὲ ἐκ τῶν μετὰ ταῦτα συμβάντων οὐ δυσχερές. Τοῦτο δ' ἔσται δῆλον ἐκ τῶν πράξεων αὐτῶν.» (1)

Ἀκολούθως προσῆλθον, λίαν ἀνήσυχοι διὰ τὰς διαθέσεις τῆς Ρώμης, καὶ φοβούμενοι τὴν πραγματοποίησιν τῶν ἀπειλῶν, ἃς ἐποίησεν αὐτοῖς ὁ Αἰμίλιος, ὁπότε εἶχον παρέμβει ὑπὸ τοῦ Περσέως. Ὅτε ἐζήτησαν νὰ εἰσαχθῶσιν ὅπως συγχαρῶσι τὸν Ρωμαϊκὸν λαὸν διὰ τὴν νίκην του καὶ δικαιολογήσωσιν τὴν δημοκρατίαν αὐτῶν διὰ τὰς κατ' αὐτῆς κατηγορίας, ὁ ὅπατος διεκήρυξεν αὐτοῖς ὅτι ἔθος τοῖς Ρωμαίοις ἦν νὰ ὑποδέχωνται τούς τε συμμάχους καὶ τοὺς φίλους αὐτῶν διὰ φιλοξενίας καὶ παραδέχωνται αὐτοὺς πρὸς ἀκρόασιν ἐν τῇ συγκλήτῳ, ἀλλ' ὅτι, κατὰ τὸν τελευταῖον πόλεμον, οἱ Ρόδιοι δὲν προσεφέρθησαν ὡς σύμμαχοι καὶ φίλοι τῶν Ρωμαίων. Εἰς τὰς λέξεις ταύτας ὑπέκλινον μέχρις ἐδάφους καὶ παρεκάλεσαν τὸν ὅπατον νὰ μὴ κατηγορῇ τόσον ἀπηνῶς τοὺς Ροδίους, οἵτινες τοσαύτας προσήνεγκον ἐκδουλεύσεις τοῖς Ρωμαίοις· ἀκολούθως περιεφέροντο ἀπὸ οἰκίας εἰς οἰκίαν ἱκετεύοντες τοὺς πρωτίστους συγκλητικοὺς ὅπως

(1) Πολυβ. βιβλ. 39, 1—3.

ἀκροασθῶσιν αὐτῶν πρὶν ἔτι καταδικάσωσιν αὐτούς. Μετὰ μακρὰς καὶ ἐπιμόνους ἱκεσίας, ἐπέτυχον τέλος νὰ παρουσιασθῶσι διὰ τοῦ ὑπάτου εἰς τὸν σύγκλητον. Χάρις δὲ τῇ εὐγλωττίᾳ ἑνὸς τῶν πρεσβευτῶν καὶ τῇ γενναίᾳ ἐπεμβάσει τοῦ Μ. Πορκισίου Κάτωνος, ἡ σύγκλητος ἀπήντησεν εἰς τοὺς Ροδίους διὰ τρόπου μὴ ἐπιτρέποντος αὐτοῖς νὰ θεωρῶνται μήτε φίλοι, μήτε ἐχθροὶ τῶν Ρωμαίων.

Οἱ Ρόδιοι διετάχθησαν νὰ ἀποσύρωσι τὸν στρατὸν αὐτῶν ἀπὸ τῆς Λυκίας καὶ Καρίας. Ἡ εἴδησις αὕτη ὁπωσδήποτε δὲν ἐλύπησε τοὺς Ροδίους καθόσον οὕτως ἀπηλλάσσοντο μεγαλειτέρας δυστυχίας, καὶ καθόσον ἐφοβοῦντο τὴν κήρυξιν τοῦ πολέμου. Πάραυτα λοιπὸν ἀπεφασίσθη ἡ ὑπὸ τῶν Ροδίων ἀποστολὴ στεφάνου βάρους 20 χιλ. τεμαχίων χρυσοῦ. Ταὐτοχρόνως ὁ Θεαίτητος, ναύαρχος τοῦ Ροδιακοῦ στόλου, ἀπεστάλη ὡς ἀρχηγὸς μετὰ πρεσβείας ὅπως ἐπικαλεσθῇ τὴν συμμαχίαν τῶν Ρωμαίων, καθόσον ἡ Ρόδος ἐπεθύμει οὕτως οὐχὶ νὰ δημιουργήσῃ ἔρεισμά τι κατὰ τῶν ἄλλων λαῶν, ὡς φοβουμένη μόνον τὴν Ρώμην, ἀλλ' ἵνα ἄρῃ πᾶσαν ὑπόνοιαν τῶν Ρωμαίων κατ' αὐτῆς. 1)

Η ΡΟΔΟΣ ΑΝΑΚΤΑ ΤΗΝ ΚΥΡΙΑΡΧΙΑΝ ΑΥΤΗΣ ΕΠΙ ΤΩΝ ΠΟΛΕΩΝ ΤΗΣ ΛΥΚΙΑΣ ΚΑΙ ΚΑΡΙΑΣ. — Λίαν πιθανὸν ὅτι ὁ Θεαίτητος κατώρθωσε βραδύτερον νὰ συμφιλιώσῃ τὴν πατρίδα αὐτοῦ μετὰ τῆς Ρώμης, διότι μετά τινα καιρὸν ἡ Ρόδος οὐδενὸς ἠμέλησεν ὅπως ἀνασυστήσῃ τὴν κυριαρχίαν αὐτῆς ἐπὶ τῶν νοτιοδυτικῶν πόλεων τῆς Μικρᾶς Ἀσίας.

Κατὰ τὴν ἐποχὴν ταύτην, οἱ Καύνιοι ἐπανέστησαν κατὰ τῶν Ροδίων καὶ οἱ Μυλασσεῖς ἐκυρίευσαν τὰ ἀπὸ τοῦ Εὐρώμου ἐξαρτώμενα φρούρια. Ἀλλ' ἡ Ρόδος ἐγνώριζεν ὅτι, ἅπαξ διαδοθείσης τῆς στάσεως, ἅπασα ἡ Καρία καὶ Λυκία θὰ διέφευγε τῶν χειρῶν της. Ὅθεν ἐστρατολόγησεν ἅπαντας τοὺς νέους καὶ ἠνάγκασε τοὺς Καυνίους νὰ ὑποταχθῶσι μεθ' ὅλην τὴν ἀντίστασιν τῶν Κιβυρατῶν. Οἱ Μυλασσεῖς καὶ οἱ Ἀλαβανδηνοὶ οἵτινες, καταλαβόντες τὰς χώρας τοῦ Εὐρώμου, συνήνωσαν τὰς δυνάμεις αὐτῶν κατὰ τῶν Ροδίων, ἡττήθησαν περὶ τὴν Ὀρθοσίαν.

---

(1) Τιτ. Λιβ. 45, 20--25.

Η ΡΩΜΗ ΕΠΙΨΗΦΙΖΕΙ ΤΗΝ ΥΠΟ ΤΩΝ ΡΟΔΙΩΝ ΚΑΤΟΧΗΝ ΤΩΝ ΚΑΛΙΝΔΕΩΝ. — «Τῶν Καλινδέων ἀποστάντων Καυνίων καὶ μετὰ ταῦτα πολιορκεῖν ἐπιβαλλομένων αὐτοῖς τῶν Καυνίων τὰς μὲν ἀρχὰς ἐπεκαλέσαντο Κνιδίους οἱ Καλινδεῖς· ὧν καὶ παραπεσόντων κατὰ βοήθειαν, ἐπὶ ποσὸν ἀντεῖχον τοῖς ὑπεναντίοις. Ἀγωνιῶντες δὲ τὸ μέλλον, πρέσβεις ἐξέπεμψαν πρὸς Ροδίους, ἐγχειρίζοντες σφᾶς αὐτοὺς καὶ τὴν πόλιν· οἱ δὲ Ρόδιοι, πέμψαντες βοήθειαν καὶ κατὰ γῆν καὶ κατὰ θάλασαν, τήν τε πολιορκίαν ἔλυσαν, καὶ παρέλαβον τὴν πόλιν. Συνέβη δὲ καὶ τὴν σύγκλητον αὐτοῖς βεβαιῶσαι τὴν τῶν Καλινδέων κτῆσιν.»

«Οἱ Ρόδιοι διαπεπνευκότες ἐκ τῆς πρὸς αὐτοὺς γενομένης δυσχερείας, ἔπεμπον εἰς τὴν Ρώμην πρεσβευτὰς τοὺς περὶ Κλεαγόραν. Καλίνδα πόλιν ἀξιώσαντας σφίσι παραχωρηθῆναι· περὶ δὲ τῶν ἐχόντων ἐν τῇ Λυκίᾳ καὶ Καρίᾳ κτήσεις, αἰτησομένους τὴν σύγκλητον ἵνα αὐτοῖς ἔχειν ἐξῇ καθὰ καὶ πρότερον, ἐψηφίσαντο δὲ καὶ κολοσσὸν στῆναι τοῦ δήμου τῶν Ρωμαίων ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τριακοντάπηχυν 1).»

ΑΝΑΚΡΙΣΕΙΣ ΔΙΑΤΑΧΘΕΙΣΑΙ ΥΠΟ ΤΗΣ ΡΩΜΗΣ ΕΝ ΕΛΛΑΔΙ ΤΕ ΚΑΙ ΜΙΚΡΑ ΑΣΙΑ. — Ἐντοσούτῳ ἡ Ρώμη, μετὰ τὴν ἐκμηδένισιν τῆς ἰσχύος τοῦ Περσέως διέταξεν ἀνακρίσεις ἐν Ἑλλάδι πρὸς ἀνταμοιβὴν τῶν φίλων καὶ τιμωρίαν τῶν ἐχθρῶν. Αἱ ἀνακρίσεις αὗται ἐπεξετέθησαν μέχρις Ἀσίας· καὶ ὁ Λαβαίων ἀπεστάλη εἰς Λέσβον ὅπως ἀπογυμνώσῃ τὴν Ἄντισσαν καὶ μεταφέρῃ τοὺς κατοίκους αὐτῆς εἰς Μέθυμναν πρὸς τιμωρίαν αὐτῶν, ὡς δεχθέντων ἐν τῷ λιμένι αὐτῶν τὸν Ἀντίνορα, στρατηγὸν τοῦ βασιλέως καὶ προμηθευσάντων αὐτῷ ζωοτροφίας, ὁπότε περιεπόλει μετὰ τοῦ στόλου αὐτοῦ εἰς τὰ ὕδατα τῆς Λέσβου.

ΑΓΩΝΕΣ ΤΕΛΟΥΜΕΝΑΙ ΥΠΟ ΤΟΥ ΑΙΜΙΛΙΟΥ. — ΟΙ ΕΝ ΑΣΙΑ ΒΑΣΙΛΕΙΣ ΠΡΟΣΕΚΑΛΗΘΗΣΑΝ ΕΙΣ ΑΥΤΟΥΣ. — Ὁ Αἰμίλιος, ἀφοῦ διηυθέτησε τὰ τῆς Μακεδονίας καὶ ἐπεράτωσε τὰς σπουδαίας αὐτοῦ ἐργασίας, ἐνησχολήθη εἰς τέρψεις. Ἀπὸ πολλοῦ

---

1) Πολυβ. βιβλ. 31, 16 καὶ 17.

προετοίμαζεν ἀγῶνά τινα εἰς Ἀμφίπολιν, εἰς ἣν προσεκλήθησαν αἱ δημοκρατίαι, οἱ ἐν Ἀσίᾳ βασιλεῖς, καὶ οἱ ἐξοχώτεροι ἄνδρες τῆς Ἑλλάδος καὶ ἐτεκμηρίωσεν ἐν τῇ περιστάσει ταύτῃ καθ' ἣν ἡ Εὐρώπη καὶ ἡ Ἀσία εὑρέθησαν συνηγωμέναι, ὅτι, ἐὰν γνωρίζῃ νὰ νικᾷ, γνωρίζει ἐνταυτῷ καὶ νὰ προΐσταται τῶν ἀγώνων 1).

ΟΙ ΡΩΜΑΙΟΙ ΠΑΡΕΜΒΑΙΝΟΥΣΙΝ ΕΙΣ ΤΗΝ ΜΕΤΑΞΥ ΤΩΝ ΓΑΛΑΤΩΝ ΚΑΙ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΠΕΡΓΑΜΟΥ ΠΑΛΙΝ. — Ἐντοσούτῳ ὁ πόλεμος ἐξηκολούθει μεταξὺ τῶν Γαλατῶν καὶ τοῦ βασιλέως τῆς Περγάμου καὶ ἡ Ρώμη, ὡς εἴδομεν, προσεκλήθη ὑπὸ τοῦ Ἀττάλου, νὰ ἐπέμβῃ εἰς τὴν πάλην ταύτην. Πρέσβεις αὐτοῦ ἀφίκοντο εἰς Ἀσίαν παρὰ τῷ Αἰμιλίῳ τελοῦντι τοὺς ἀγῶνας. Ὁ χειμὼν εἶχεν ἐπιβάλει ἀνακωχὴν, ἕνεκα τῆς ὁποίας οἱ Γαλάται ἐπέστρεψαν εἰς τὴν χώραν αὐτῶν καὶ ὁ Εὐμένης αὐτὸς μετέβη πρὸς χειμασίαν ἐν Περγάμῳ, ἔνθα ἔπεσεν ἐπικινδύνως ἀσθενής. Ἀλλ' ἅμα τοῦ ἔαρος ἐπιστάντος εἶδε τοὺς Γαλάτας ἀναφανέντας καὶ προχωρήσαντας μέχρι Συμνάδων καὶ ἤρξατο συγκεντρῶν ἁπάσας τὰς δυνάμεις αὐτοῦ εἰς Σάρδεις. Παρὰ τὴν Συμνάδα οἱ Ρωμαῖοι συνήντησαν τὸν Σολοβέττιον, ἀρχηγὸν τῶν Γαλατῶν. Ὁ Ἄτταλος συνώδευεν αὐτούς· ἔκρινον δὲ φρόνιμον νὰ μὴ ἀφίσωσιν αὐτὸν νὰ εἰσέλθῃ εἰς τὸ στρατόπεδον ἵνα μὴ ἡ συζήτησις καταστῇ θορυβώδης. Ὁ Κ. Λικίνιος διεπραγματεύετο μετὰ τοῦ ἀρχηγοῦ τῶν Γαλατῶν, ἀλλὰ ἡ μεσολάβησις τῶν Ρωμαίων οὐδόλως ἐπίδρασεν ἐπὶ τῶν Γαλατῶν.

Ο ΠΡΟΥΣΙΑΣ ΕΡΧΕΤΑΙ ΕΙΣ ΡΩΜΗΝ ΜΕΤΑ ΤΟΥ ΥΙΟΥ ΑΥΤΟΥ ΟΠΩΣ ΕΠΙΚΑΛΕΣΘΗ ΤΗΝ ΥΠΟΣΤΗΡΙΞΙΝ ΤΗΣ ΣΥΓΚΛΗΤΟΥ. — «Κατὰ τὸν αὐτὸν καιρὸν ἦλθε καὶ Προυσίας ὁ βασιλεὺς εἰς τὴν Ρώμην, συγχαρησόμενος τῇ συγκλήτῳ καὶ τοῖς στρατηγοῖς ἐπὶ τοῖς γεγονόσιν. Ὁ Προυσίας οὗτος οὐδαμῶς γέγονεν ἄξιος τοῦ τῆς βασιλείας προσχήματος. Τεκμήραιτο δ' ἄν τις ἐκ τούτων. Ὅς γε πρῶτον μὲν, πρεσβευτῶν παραγεγονότων Ρωμαϊκῶν αὐτὸν, ἐξυρημένος τὴν κεφαλὴν καὶ πίλεον ἔχων, καὶ τήβενναν, καὶ καλικίοις, ἀπήντα τούτοις, καὶ καθόλου τοιαύτῃ διασκευῇ κε-

(1) Τιτ. Λιβ. βιβλ. 45, 31 καὶ 32.

χρημένος, οἷαν ἔχουσιν οἱ προσφάτως ἠλευθερωμένοι παρὰ Ρωμαίοις, οὓς καλοῦσι λιβέρτους· καὶ δεξιωσάμενος τοὺς πρεσβευτάς. Ὁρᾶτε, ἔφη, τὸν ὑμέτερον λίβερτον ἐμὲ πάντα βουλόμενον χαρίζεσθαι καὶ μιμεῖσθαι τὰ παρ' ὑμῖν· ἧς ἀγενεστέραν φωνὴν οὐ ράδιον εἰπεῖν. Τότε δὲ τὰ κατὰ τὴν εἴσοδον γενόμενος τὴν εἰς τὴν σύγκλητον, στὰς κατὰ τὸ θύρετρον ἀντίος τοῦ συνεδρίου, καὶ καθεὶς τὰς χεῖρας ἀμφοτέρας, προσεκύνησε τὸν οὐδὸν καὶ τοὺς καθημένους, ἐπιφθεγξάμενος, χαίρετε θεοὶ σωτῆρες· ὑπερβολὴν οὐ καταλιπὼν ἀνανδρίας ἅμα δὲ καὶ γυναικωνισμοῦ καὶ κολακείας οὐδὲν τῶν ἐπιγιγνομένων. Ἀκόλουθα δὲ τούτοις καὶ κατὰ τὴν κοινολογίαν εἰσελθὼν ἐπιτελέσατο περὶ ὧν καὶ τὸ γράφειν ἀπρεπὲς ἦν. Φανεὶς δὲ τελέως εὐκαταφρόνητος, ἀπόκρισιν ἔλαβε δι' αὐτὸ τοῦτο φιλάνθρωπον». 1)

Ο ΕΥΜΕΝΗΣ ΕΡΧΕΤΑΙ ΕΙΣ ΙΤΑΛΙΑΝ. — Η ΡΩΜΑΙΚΗ ΣΥΓΚΛΗΤΟΣ ΑΡΝΕΙΤΑΙ ΝΑ ΔΕΧΘΗ ΑΥΤΟΝ. — «Ἤδη δὲ τούτου τὰς ἀποκρίσεις εἰληφότος προσέπεσε παραγίνεσθαι τὸν Εὐμένη. Τοῦτο δὲ τὸ πρᾶγμα πολλὴν ἀπορίαν παρέσχε τοῖς ἐν τῷ συνεδρίῳ, διαβεβλημένοι γὰρ πρὸς αὐτόν, καὶ διαλήψεις ἀμεταθέτους ἔχοντες, οὐκ ἐβούλοντο κατ' οὐδένα τρόπον ἐμφανίζειν αὐτούς. Πᾶσι γὰρ ἀναδεδειχότες πρῶτον καὶ μέγιστον φίλον τὸν βασιλέα τοῦτον, ἔμελλον, εἰς ὄψιν ἐλθόντες, καὶ προσδεξάμενοι δικαιολογίαν, εἰ μὲν τὸ δοκοῦν ἀποκριθεῖεν ἀκολουθοῦντες ταῖς ἰδίαις διαλήψεσιν, ἐκθεατριεῖν αὐτούς, εἰ τοιοῦτον ἄνθρωπον ἐπὶ τοσοῦτον ἐξετίμησαν ἐν τοῖς ἀνώτερον χρόνοις. Εἰ δὲ δουλεύοντες τῇ τῶν ἐκτὸς φαντασίᾳ φιλανθρώπως ἀποκριθεῖεν, παρόψεσθαι τὴν ἀλήθειαν καὶ τὸ τῇ πατρίδι συμφέρον. Διόπερ ἐξ ἑκατέρας τῆς ἀποφάσεως μέλλοντος ἀπιθάνου τινος αὐτοῖς ἐξακολουθήσειν, εὕροντο λύσιν τοῦ προβλήματος τοιαύτην. Ὡς γὰρ καθόλου δυσαρεστούμενοι ταῖς τῶν βασιλέων ἐπιδημίαις, δόγμα τι τοιοῦτον ἐξέβαλον μηδένα βασιλέα παραγίνεσθαι πρὸς αὐτούς. Μετὰ δὲ ταῦτα πυθόμενοι τὸν Εὐμένη καταπεπλευκέναι τῆς Ἰταλίας εἰς Βρεντήσιον, ἐξαπέστειλαν τὸν ταμίαν φέροντα τὸ δόγμα, καὶ κελεύοντα λέγειν πρὸς αὐτόν, εἴ τι τυγχάνει τῆς συγ-

(1) Πολυβ. 30. 16 17.

κλήτου χρείαν ἔχων· εἰ δὲ μηδενὸς δεῖται, παραγγελοῦντα τὴν ταχίστην αὐτὸν ἐκ τῆς Ἰταλίας ἀπαλλάτεσθαι. Ὁ δὲ βασιλεύς, συμμίξαντος αὐτῷ τοῦ ταμίου, γνοὺς τὴν τῆς συγκλήτου προαίρεσιν, εἰς τέλος ἀπεσιώπησεν, οὐδενὸς φήσας προσδεῖσθαι. Καὶ δὴ τοῦτον τὸν τρόπον συνέβη τὸν Εὐμένη κωλυθῆναι τῆς εἰς τὴν Ρώμην ἀναβάσεως.» 1)

ΠΡΕΣΒΕΙΣ ΤΗΣ ΡΟΔΟΥ ΚΑΙ ΤΩΝ ΓΑΛΑΤΩΝ ΕΙΣ ΡΩΜΗΝ — «Κατὰ τὸν καιρὸν τοῦτον Θεαίτητος εἰσελθὼν εἰς τὴν σύγκλητον λόγους μὲν ἐποιήσατο περὶ τῆς συμμαχίας. Ὑπερθεμένης δὲ τῆς συγκλήτου τὸ διαβούλιον, οὗτος μὲν μετήλλαξε τὸν βίον κατὰ φύσιν, ἔτη γὰρ εἶχε πλείω τῶν ὀγδοήκοντα. Παραγενομένων δὲ τῶν φυγάδων ἔκ τε Καύνου καὶ Στρατονικείας εἰς τὴν Ρώμην, καὶ παρελθόντων εἰς τὴν σύγκλητον· ἐγένετο δόγμα, Ροδίους ἐξάγειν τὰς φρουρὰς ἔκ τε Καύνου καὶ Στρατονικείας. Οἱ δὲ περὶ τὸν φιλόφρονα καὶ Ἀστυμήδην, λαβόντες ταύτην τὴν ἀπόκρισιν, ἀπέπλευσαν κατὰ σπουδὴν εἰς τὴν οἰκείαν· δεδιότες μὴ παρασκευάσαντες οἱ Ρόδιοι περὶ τοῦ τὰς φρουρὰς ἐξαγαγεῖν, αὖθις ἄλλην ἀρχὴν ἐγκλημάτων ποιήσωσιν» 1).

Ο ΠΡΟΥΣΙΑΣ ΚΑΤΗΓΟΡΕΙ ΤΟΝ ΕΥΜΕΝΗ ΕΝΩΠΙΟΝ ΤΗΣ ΡΩΜΑΙΚΗΣ ΣΥΓΚΛΗΤΟΥ. — «Εἰς τὴν Ρώμην παραγεγονότων πρεσβευτῶν πλειόνων καὶ ἑτέρων, ἐπιφανεστάτων δὲ παρὰ μὲν Ροδίων τῶν περὶ Ἀστυμήδην, παρὰ δὲ τῶν Ἀχαιῶν τῶν περὶ Εὐρέαν καὶ Ἀναξίδαμον καὶ Σάτυρον, παρὰ δὲ Προυσίου τῶν περὶ Πύθωνα τούτοις ἐχρημάτισεν ἡ σύγκλητος. Οἱ μὲν οὖν παρὰ τοῦ Προυσίου κατηγορίαν ἐποιοῦντο Εὐμένους τοῦ βασιλέως· φάσκοντες, αὐτῶν τε τινὰ χωρία παραιρεῖσθαι τὸν Εὐμένη, καὶ τῆς Γαλατίας οὐκ ἀφίστασθαι τὸ παράπαν, οὐδὲ πειθαρχεῖν τοῖς τῆς συγκλήτου δόγμασιν. Ἀλλὰ τοὺς τὰ σφέτερα μὲν φρονοῦντας σωματοποιεῖν, τοὺς δὲ τὰ Ρωμαίων αἱρουμένους, καὶ βουλομένους πολιτεύεσθαι τοῖς τῆς συγκλήτου δόγμασιν ἀκολούθως, κατὰ πάντα τρόπον ἐλατ-

(1) Πολυβ. βιβλ. 30 16, 18.
1) Πολυβ. βιβλ. 31, 19.

τοῦν. Ἦσαν δέ τινες πρεσβευταὶ καὶ παρὰ τῶν τῆς Ἀσίας πόλεων, οἳ κατηγόρουν τοῦ βασιλέως, ἔμφασιν ποιοῦντες τῆς πρὸς τὸν Ἀντίοχον κοινοπραγίας. Ἡ δὲ σύγκλητος διακούσασα τῶν κατηγορούντων, οὔτ' ἀπέρριπτε τὰς διαβολὰς, οὔτ' ἐξύφαινε τὴν ἑαυτῆς γνώμην,ἀλλὰ συνετήρει παρ' ἑαυτῇ, διαπιστοῦσα καθόλου τοῖς περὶ τὸν Εὐμένη καὶ τὸν Ἀντίοχον. Τοῖς γε μὴν Γαλάταις ἀεί τι προσετίθει καὶ συνεπίσχυε περὶ τῆς ἐλευθερίας. Οἱ δὲ περὶ τὸν Τιβέριον ἥκοντες ἀπὸ τῆς πρεσβείας, οὐδὲν περιττότερον ἠδυνήθησαν, οὔτ' αὐτοὶ διαλαβεῖν, οὔτε τῇ συγκλήτῳ διασαφῆσαι περὶ τῶν κατὰ τὸν Εὐμένη καὶ τὸν Ἀντίοχον, ἥπερ ἂν καὶ πρότερον ὄντες ἐν τῇ Ῥώμῃ διελάμβανον. Οὕτως αὐτοὺς οἱ βασιλεῖς ἐξετέμοντο τῇ κατὰ τὴν ἀπάντησιν φιλανθρωπίᾳ» 1).

ΝΕΑ ΠΡΕΣΒΕΙΑ ΤΩΝ ΡΟΔΙΩΝ ΕΙΣ ΡΩΜΗΝ—ΑΓΟΡΕΥΣΙΣ ΤΟΥ ΑΣΤΥΜΗΔΟΥΣ.— «Μετὰ δὲ ταῦτα προσκαλεσαμένη τοὺς Ροδίους διήκουε τούτων. Ὁ δ' Ἀστυμήδης εἰσελθὼν μετρίως ἔστη καὶ βέλτιον ἢ κατὰ τὴν πρὸ ταύτης πρεσβείαν. Ἀφέμενος γὰρ τοῦ κατηγορεῖν τῶν ἄλλων, ὥρμησεν ἐπὶ τὸ παραιτεῖσθαι, καθάπερ οἱ μαστιγούμενοι τὰς πληγάς· φάσκων, ἱκανοῖς προστίμοις περιπεπτωκέναι τὴν πατρίδα, καὶ μείζοσι ταῖς ἁμαρτίαις. Καὶ προσθέμενος ἐξηγεῖτο τὰς ἐλαττώσεις, κεφαλαιωδῶς διεξιών, πρῶτον μὲν ὅτι Λυκίαν καὶ Καρίαν ἀπολωλέκασιν, εἰς ἣν ἐξ ἀρχῆς μὲν ἐδαπάνησαν χρημάτων ἱκανὸν πλῆθος, τριττοὺς πολέμους ἀναγκασθέντες πολεμεῖν αὐτοῖς, νυνὶ δὲ προσόδων ἐστέρηνται πολλῶν, ὧν ἐλάμβανον παρὰ τῶν προειρημένων. Ἀλλ' ἴσως, ἔφη, ταῦτα μὲν ἔχει λόγον καὶ γὰρ ἐδώκαθ' ὑμεῖς αὐτὰ τῷ δήμῳ, μετὰ χάριτος τὴν εὔνοιαν, καὶ χαρίζοντες αὐτὰ, κατὰ λόγον ἐδοκεῖτε τοῦτο πράττειν, ἐμπεσούσης ὑποψίας καὶ διαφορᾶς ὑμῖν. Ἀλλὰ Καδνον δήπου διακοσίων ταλάντων ἐξηγοράσαμεν παρὰ τῶν Πτολεμαίου στρατηγῶν, καὶ Στρατονίκειαν ἐλάβομεν ἐν μεγάλῃ χάριτι παρ' Ἀντιόχου καὶ Σελεύκου, καὶ παρὰ τούτων τῶν πόλεων ἀμφοτέρων ἑκατὸν καὶ εἴκοσι τάλαντα τῷ δήμῳ πρόσοδος ἔπιπτε καθ' ἕκαστον ἔτος. Τούτων ἀ-

---

1) Πολυβ. Βιβλ' 31, 6.

πασῶν ἐστερήμεθα τῶν προσόδων, θέλοντες πειθαρχεῖν τοῖς ὑμετέροις προστάγμασιν. Ἐξ ὧν μείζονα φόρον ἐπιτεθείκατε τοῖς Ροδίοις τῆς ἀγνοίας, ἢ Μακεδόσι τοῖς διὰ παντὸς πολεμίοις ὑμῖν ὑπάρξασι. Τὸ δὲ μέγιστον σύμπτωμα τῆς πόλεως· καταλέλυται γὰρ ἡ τοῦ λιμένος πρόσοδος ὑμῶν. Δῆλον μὲν ἀτελῆ πεποιηκότων, ἀφῃρημένων δὲ τὴν τοῦ δήμου παρρησίαν, δι' ἧς καὶ τὰ κατὰ τὸν λιμένα καὶ τἄλλα πάντα τῆς πόλεως ἐτύγχανε τῆς ἁρμοζούσης προστασίας. Ὅτι δὲ τοῦτ' ἔστιν ἀληθές, οὐ δυσχερὲς καταμαθεῖν. Τοῦ γὰρ ἐλλιμενίου κατὰ τοὺς ἀνώτερον χρόνους εὑρίσκοντος ἑκατὸν μυριάδας δραχμῶν, νῦν εὕρῃ κατὰ πεντεκαίδεκα μυριάδας· ὥστε καὶ λίαν, ὦ ἄνδρες Ρωμαῖοι, τὴν ὑμετέραν ὀργὴν ἧφθαι τῶν κυρίων τόπων τῆς πόλεως. Εἰ μὲν οὖν συμβεβήκει πάνδημον γεγονέναι τὴν ἁμαρτίαν καὶ τὴν ἀλλοτριότητα τοῦ δήμου, τάχα ἴσως ἐδικεῖτε καὶ ὑμεῖς εὐλόγως ἐπίμονον καὶ δυσπαραίτητον ἔχειν τὴν ὀργήν. Εἰ δὲ σαφῶς ἴστε, παντάπασιν ὀλίγους γεγονότας αἰτίους τῆς τοιαύτης ἀλογίας, καὶ τούτους ἅπαντας ἀπολωλότας ὑπ' αὐτοῦ τοῦ δήμου. Τί πρὸς τοὺς μηδὲν αἰτίους ἀκαταλλάκτως ἔχετε ; καὶ ταῦτα, πρὸς τοὺς ἄλλους ἅπαντας εἶναι δοκοῦντες πραότατοι καὶ μεγαλοψυχότατοι. Διόπερ, ὦ ἄνδρες, ἀπολωλεκὼς ὁ δῆμος τὰς προσόδους, τὴν παρρησίαν, τὴν ἰσολογίαν, ὑπὲρ ὧν τὸν πρὸ τοῦ χρόνον πᾶν ἀναδεχόμενος διατετέλεκεν· ἀξιοῖ, καὶ δεῖται πάντων ὑμῶν, ἱκανὰς ἔχων πληγάς, λήξαντας τῆς ὀργῆς διαλυθῆναι, καὶ συνθέσθαι τὴν συμμαχίαν, ἵνα γένηται τοῦτο ἐμφανὲς ἅπασιν, ὅτι τὴν μὲν ὀργὴν ἀποτέθεισθε τὴν πρὸς Ροδίους, ἀνακεχωρήκατε δ' ἐπὶ τὴν ἐξ ἀρχῆς αἵρεσιν καὶ φιλίαν. Τούτου γὰρ χρείαν ἔχει νῦν ὁ δῆμος, οὗ τῆς διὰ τῶν ὅπλων καὶ στρατιωτῶν συμμαχίας.

Ταῦτα μὲν οὖν καὶ τούτοις παραπλήσια διαλεχθεὶς Ἀστυμήδης, ἐδόκει πρεπόντως τοῖς καιροῖς πεποιῆσθαι τοὺς λόγους. Ηλεῖστά γε μὴν συνήργησαν τοῖς Ροδίοις πρὸς τὸ τυχεῖν τῆς συμμαχίας οἱ περὶ τὸν Τιβέριον ἄρτι παραγεγονότες· οὗτοι γὰρ, ἀπομαρτυρήσαντες πρῶτον μέν, πᾶσι τοῖς τῆς συγκλήτου δόγμασι πεπειθαρχηκέναι τοὺς Ροδίους, ἔπειτα πάντας τοὺς αἰτίους τῆς ἀλλοτριότητος κατα-

κεκρίσθαι θανάτου παρ αὐτοῖς, ἤτησαν τοὺς ἀντιλέγοντας καὶ ἐποιήσαντο τὴν πρὸς Ρωμαίους συμμαχίαν». 1)

Ο ΑΤΤΑΛΟΣ ΚΑΙ Ο ΕΥΜΕΝΗΣ ΥΠΕΡΑΣΠΙΖΟΝΤΑΙ ΤΟΝ ΕΥΜΕΝΗ ΕΝ ΤΗ ΡΩΜΑΙΚΗ ΣΥΓΚΛΗΤΩ. — Ο Γ. ΣΟΥΛΠΙΚΙΟΣ ΕΚΠΕΜΠΕΤΑΙ ΕΙΣ ΑΣΙΑΝ. — «Εἰς δὲ τὴν Ρώμην καὶ πλειόνων παραγεγονότων ἐχρημάτισεν ἡ σύγκλητος τοῖς περὶ Ἄτταλον καὶ τὸν Ἀθήναιον. Συνέβαινε γὰρ, τὸν Προυσίαν οὐ μόνον αὐτὸν ἐνεργῶς κεχρῆσθαι ταῖς διαβολαῖς, ταῖς κατὰ τὸν Εὐμένη καὶ τὸν Ἄτταλον, ἀλλὰ καὶ τοὺς Γαλάτας παρωξυγκέναι, καὶ τοὺς Σελγεῖς, καὶ πλείους ἑτέρους κατὰ τὴν Ἀσίαν, πρὸς τὴν αὐτὴν ὑπόθεσιν· ὧν χάριν ὁ βασιλεὺς Εὐμένης ἐξαπεστάλκει τοὺς ἀδελφοὺς, ἀπολογησομένους πρὸς τὰς ἐπιφερομένας μεταβολάς. Οἳ καὶ παρελθόντες εἰς τὴν σύγκλητον, ἐνδεχομένως ἔδοξεν πρὸς ἅπαντας τοὺς κατηγοροῦντας ποιήσασθαι τὴν ἀπολογίαν· καὶ τέλος, οὐ μόνον ἀποτρεψάμενοι τὰς ἐπιφερομένας αἰτίας, ἀλλὰ καὶ τιμηθέντες ἐπανῆλθον εἰς τὴν Ἀσίαν. Οὐ μὴν τῆς γε κατὰ τὸν Εὐμένη καὶ κατὰ τὸν Ἀντίοχον ὑποψίας ἔλλιγεν ἡ σύγκλητος· ἀλλὰ Γάϊον Σουλπίκιον καὶ Μάνιον Σέργιον καταστήσασα πρεσβευτὰς ἐξαπέστελλεν· ἅμα μὲν ἐποπτεύσοντας τὰ κατὰ τοὺς Ἕλληνας, ἅμα δὲ τοῖς Μεγαλοπολίταις καὶ τοῖς Λακεδαιμονίοις διευκρινήσοντας περὶ τῆς ἀντιλεγομένης χώρας· μάλιστα δὲ πολυπραγμονήσοντας τὰ κατὰ τὸν Ἀντίοχον καὶ τὸν Εὐμένη, μή τις ἐξ αὐτῶν παρασκευὴ γένηται καὶ κοινοπραγία κατὰ Ρωμαίων.» 1)

ΡΩΜΑΙΟΙ ΠΡΕΣΒΕΥΤΑΙ ΕΙΣ ΚΑΠΠΑΔΟΚΙΑΝ. — «Κατὰ τοὺς καιροὺς τούτους παρεγένοντο πρέσβεις ἐκ τῆς Ρώμης· πρῶτον μὲν οἱ περὶ τὸν Μάρκον Ἰούνιον, διευκρινήσοντες τὰ πρὸς τοὺς Γαλάτας διαφέροντα τῷ βασιλεῖ. Ἐπειδὴ δὲ οὐκ ἠδυνήθησαν οἱ Τρόκμοι δι' αὐτῶν ἀποτεμέσθαι τῆς Καππαδοκίας οὐδέν, ἀλλ' ἐκ χειρὸς (ἀεὶ ἐδάμησαν τὸν Καππαδόκην ἐπιβαλλόμενοι πολεμεῖν) καταφυγόντες ἐπὶ Ρωμαίοις, διαβαλλεῖν ἐπειρῶντο τὸν Ἀριαράθην, βα-

---

(1) Πολυβ. Βιβλ. 31. 7.

(1) Πολυβ. Βιβλ. 31. 9.

σιλέα τῆς Καππαδοκίας. Ὧν χάριν ἀπεστάλησαν οἱ περὶ τὸν Ἰούνιον, πρὸς οὓς ὁ βασιλεὺς ποιησάμενος τοὺς ἁρμόζοντας λόγους, καὶ τἄλλα φιλανθρώπως ὁμιλήσας, ἐκείνους μὲν εὐλογοῦντας ἀπέστειλε» 1).

ΥΠΟΘΕΣΕΙΣ ΤΗΣ ΣΥΡΙΑΣ.—ΔΟΛΟΦΟΝΙΑ ΤΟΥ ΟΚΤΑΒΙΟΥ, ΠΡΕΣΒΕΥΤΟΥ ΤΗΣ ΣΥΓΚΛΗΤΟΥ.—ΑΝΑΡΡΗΣΙΣ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΣΩΤΗΡΟΣ.—Κατὰ τὴν ἐποχὴν ταύτην ἐπῆλθον ἐν Συρίᾳ τὰ γεγονότα ἐκεῖνα, ἅτινα τοσοῦτον ἐπέδρασαν ἐφ' ὅλων τῶν γειτόνων χωρῶν. Ἀντίοχος ὁ ἐπιφανὴς ἀπέθανε (164) ἀφήσας κληρονόμον τὸν ἐννεαετῆ αὐτοῦ υἱόν, ὃν ὁ κηδεμὼν αὐτοῦ Λυσίας ἀνεκήρυξε βασιλέα ὑπὸ τὸ ὄνομα Ἀντίοχος Ε΄. ὁ Εὐπάτωρ. Ἐπὶ τῇ εἰδήσει ταύτῃ, ὁ νέος Δημήτριος, υἱὸς τοῦ Σελεύκου Δ΄. ὅστις ἀπὸ 12 ἐτῶν διετέλει ὡς ὅμηρος ἐν Ρώμῃ, ἐζήτησε παρὰ τῆς συγκλήτου τὴν ἄδειαν νὰ ἐπιστρέψῃ εἰς τὴν χώραν αὐτοῦ. Καίτοι δὲν ὑπῆρχον ἰσχυροὶ λόγοι πρὸς ὑποστήριξιν τῆς αἰτήσεώς του, ἡ σύγκλητος ἐνόμισε λυσιτελέστερον ν' ἀφήσῃ τὸ βασίλειον εἰς χεῖρας παιδικάς, καὶ ἀπεφάσισε μάλιστα νὰ ἐπωφεληθῇ τῆς περιστάσεως ὅπως δώσῃ τὸ τελευταῖον τραῦμα εἰς τὴν ἰσχὺν τῶν βασιλέων τῆς Συρίας. Ὁ Γ. Ὀκτάβιος, ὁ Σπούριος Λουκρέτιος, καὶ ὁ Λ. Αὐρήλιος ἐξελέγησαν, ὅπως μεταβάντες ἐπιτοπίως διευθετήσωσι τὰς τῆς Ἀσίας ὑποθέσεις. Ἐπειδὴ φήμη διέτρεχεν ὅτι Ἀντίοχος ὁ Ἐπιφανὴς συνήγαγεν ἐλέφαντας καὶ πλοῖα πλείονα τῶν ἐν τῇ συνθήκῃ ἀναφερομένων, διέταξεν αὐτοῖς νὰ καύσωσι τὰ πλοῖα καὶ ἀποκτείνωσι τοὺς ἐλέφαντας. Ταὐτοχρόνως ἐπεφορτίσθησαν νὰ κανονίσωσι τὴν διαφορὰν τῶν Γαλατῶν καὶ τοῦ βασιλέως τῆς Καππαδοκίας. Ὁ νέος Ἀριαράθης ὑπεδέχθη τοὺς Ρωμαίους πρεσβευτὰς μετὰ πλείστης ὅσης τῆς φιλοφροσύνης. Πληροφορηθεὶς δὲ ὅτι ἐπρόκειτο νὰ μεταβῶσιν εἰς Συρίαν, προέτεινεν αὐτοῖς νὰ τοῖς συνοδεύσῃ μετὰ τοῦ στρατοῦ αὐτοῦ, ὅπως προφυλάξῃ αὐτοὺς πάσης ὕβρεως, ἀλλ' οὗτοι δὲν ἐδέχθησαν τὴν προσφορὰν πιστεύοντες ὅτι ἐπροστάτευεν αὐτοὺς ὁ σεβασμὸς τοῦ Ρωμαϊκοῦ ὀνόματος.

---

(1) Πολυβ. βιβλ. 31—13.

Πράγματι, οἱ πάντες ἔτρεμον ἐνώπιον αὐτῶν. Ἀλλ' οἱ Σύριοι δὲν ἔβλεπον ἄνευ περιφρονήσεως τὴν ἐκτέλεσιν τῶν αὐστηρῶν διαταγῶν τῆς συγκλήτου. Ὁ Ὀκτάβιος, ἀρχηγὸς τῆς πρεσβείας, ἐδολοφονήθη ὑπό τινος Λεπτίνη ἐν τῷ γυμνασίῳ τῆς Λαοδικείας καὶ ὑπῆρχεν ἡ ὑπόνοια ὅτι ὁ ἀντιβασιλεὺς Λυσίας ἦν ὁ εἰσηγητὴς τοῦ φόνου τούτου.

Ἀληθῶς μεγαλοπρεπῶς ἐκήδευτε τὸν Ρωμαῖον πρεσβευτὴν καὶ ἐξαπέστειλε πρεσβείαν εἰς τὴν σύγκλητον πρὸς πίστιν τῶν γεγονότων, ἥτις ἐπανέκαμψεν ἄνευ τῆς ἐλαχίστης ἀπαντήσεως. Ἐπὶ τούτοις, ὁ Δημήτριος, διαφυγὼν τὴν φρούρησιν, ὑφ' ἧς διετέλει, ἔφυγεν εἰς Ἰταλίαν. Καὶ πρῶτον ἀπεβιβάσθη εἰς Λυκίαν ὅθεν ἔγραψεν εἰς τὴν σύγκλητον ὅτι θὰ ἐκδικηθῇ κατὰ τοῦ Λυσία τὴν δολοφονίαν τοῦ Ὀκταβίου, ὅτι θὰ σεβασθῇ τὸν νέον βασιλέα ὃν ἀνεγνώριζεν ὁ Ρωμαϊκὸς λαός· ταυτοχρόνως οἱ φίλοι αὐτοῦ ἐν Συρίᾳ ἐδημοσίευσαν ὅτι προσήρχετο τῇ θελήσει τῆς συγκλήτου. Οὐδεμίαν δὲ εὗρεν ἀντίστασιν. Ὁ Λυσίας ὡς καὶ ὁ κηδεμονευόμενος αὐτοῦ ἐθανατώθησαν.

Μετ' οὐ πολὺ ἀφίκετο ἐν Ἀσίᾳ νέα Ρωμαϊκὴ πρεσβεία ὑπὸ τὸν Τιβ. Γράχον. Ὁ Δημήτριος οὐδενὸς ἠμέλησεν ὅπως κερδίσῃ τὴν φιλίαν τῶν πρεσβευτῶν, πρὸς οὓς ἔπεμψε τὸ πρῶτον ἐν Καππαδοκίᾳ ἕνα τῶν ἑταίρων αὐτοῦ, εἶτα δύο πρεσβείας, τὴν μὲν εἰς Παμφυλίαν, τὴν δὲ εἰς Ρόδον.

Ταυτοχρόνως ἐξαπέστειλεν εἰς Ρώμην πρεσβείαν ἐπιτετραμμένην νὰ προσφέρῃ εἰς τὴν σύγκλητον στέφανον ἀξίας 10 χιλ. χρυσῶν τεμαχίων ὅπως ἀποδώσῃ τὸν δολοφόνον τοῦ Ὀκταβίου μετά τινος ῥήτορος ὀνόματι Ἰσοκράτους, ὅστις δημοσίᾳ ἀπήγγειλε τὴν ἀπολογίαν τοῦ δολοφόνου. Ἡ σύγκλητος ἀφοῦ ἐπὶ πολὺν καιρὸν καιρὸν συνδιεσκέφθη, ἐδέχθη τοὺς πρεσβευτὰς ὡς καὶ τὸν στέφανον αὐτῶν καὶ ἀπήντησεν αὐτοῖς ὅτι ὁ βασιλεὺς Δημήτριος αὐτὸς θέσεται φίλος τῶν Ρωμαίων ἐνόσῳ ὑποτάσσεται αὐτοῖς ὡς ὅτε εὑρίσκετο ἐν Ρώμῃ.

ΝΕΟΙ ΠΡΕΣΒΕΥΤΑΙ ΤΟΥ ΑΡΙΑΡΑΘΟΥ, ΤΟΥ ΠΡΟΥΣΙΑ ΚΑΙ ΤΟΥ ΕΥΜΕΝΟΥΣ ΕΙΣ ΤΗΝ ΡΩΜΑΙΚΗΝ ΣΥΓΚΛΗΤΟΝ.

— «Κατὰ τὸν καιρὸν τοῦτον ἦλθον παρὰ Ἀριαράθου πρέσβεις (στε-

φανόν τε νομίζοντες ἀπὸ μυρίων χρυσῶν, καὶ διασαφοῦντες τὴν τοῦ βασιλέως προαίρεσιν, ἣν ἔχει πρὸς τὰ Ρωμαίων πράγματα· καὶ τούτων μάρτυρας ἐπέμποντο τοὺς περὶ τὸν Τιβέριον· ὧν ἀνθομολογησαμένων, ἡ σύγκλητος τὸν στέφανον ἀπεδέξατο μετὰ μεγάλης χάριτος, καὶ τὰ μέγιστα τῶν παρ' αὐτῇ νομιζομένων δώρων ἀνταπέστειλε, τόν τε σκηπίωνα καὶ τὸν ἐλεφάντινον δίφρον. Τούτους μὲν ἐξ αὐτῆς ἔτι πρὸ τοῦ χειμῶνος ἀπέλυσεν ἡ σύγκλητος. Μετὰ δὲ τούτους Ἀττάλου παραγενηθέντος, ἤδη τῶν Ὑπάτων τὰς ἀρχὰς εἰληφότων· καὶ τῶν Γαλατῶν αὐτοῦ κατηγορησάντων, οὓς ἀπέσταλκε Προυσίας, καὶ πλειόνων ἑτέρων ἀπὸ τῆς Ἀσίας· διακούσασα πάντων ἡ σύγκλητος, οὐ μόνον ἀπέλυσε τῶν διαβολῶν τὸν Ἄτταλον, ἀλλὰ καὶ προσαυξήσασα τοῖς φιλανθρώποις ἐξαπέστειλε. Καθ' ὅσον γὰρ ἀπηλλοτρίωτο τοῦ βασιλέως, καὶ διεφέρετο πρὸς τὸν Εὐμένη, κατὰ τοσοῦτον ἐφιλοποιεῖτο καὶ συνῆξε τὸν Ἄτταλον.» 1).

ΘΑΝΑΤΟΣ ΤΟΥ ΕΥΜΕΝΟΥΣ.—ΕΡΚΩΜΙΟΝ ΑΥΤΟΥ.— Τὸ ἑπόμενον ἔτος, μετὰ 49 ἐτῶν βασιλείαν, ὁ Εὐμένης ἀπεβίωσεν. (159 Π. Χ).

«Εὐμένης, ὁ βασιλεὺς, τῇ μὲν σωματικῇ δυνάμει παραλελυμένος ἦν, τῇ δὲ τῆς ψυχῆς λαμπρότητι προσαντεῖχεν· ἀνὴρ ἐν μὲν τοῖς πλείστοις οὐδενὸς δεύτερος τῶν καθ' αὑτὸν βασιλέων γενόμενος, περὶ δὲ τὰ σπουδαιότατα καὶ κάλλιστα μείζων καὶ λαμπρότερος. Ὅς γε, πρῶτον μὲν, παραλαβὼν παρὰ τοῦ πατρὸς τὴν βασιλείαν συνεσταλμένην τελέως εἰς ὀλίγα καὶ λιτὰ πολισμάτια, ταῖς μεγίσταις τῶν καθ' αὑτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἰδίαν ἀρχήν· οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδ' ἐκ περιπετείας, ἀλλὰ διὰ τῆς ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ πράξεως αὐτοῦ. Δεύτερον φιλοδοξότατος ἐγεννήθη, καὶ πλείστας μὲν τῶν καθ' αὑτὸν βασιλέων πόλεις Ἕλληνίδας εὐηργέτησε, πλείστους δὲ κατ' ἰδίαν ἀνθρώπους ἐσωματοποίησε. Τρίτον, ἀδελφοὺς ἔχων τρεῖς καὶ κατὰ τὴν ἡλικίαν καὶ πρᾶξιν, πάντας τούτους συνέσχε πειθαρχοῦντας αὐτῷ καὶ φορυφοροῦντας καὶ σώζοντας τὸ τῆς βασιλείας ἀξίωμα. Τοῦτο δὲ σπανίως εὕροι τις ἂν γεγονός 2)»

(1) Πολύβ. Βιβλ. 32. 4—5.

2) Πολύβ. Βιβλ. 32. 23.

ΑΝΑΡΡΗΣΙΣ ΑΤΤΑΛΟΥ ΤΟΥ Β'. — ΕΡΙΣ ΟΡΟΦΕΡΝΟΥΣ ΚΑΙ ΑΡΙΑΡΑΘΟΥ ΕΝ ΚΑΠΠΑΔΟΚΙΑ — Η ΔΙΕΝΕΞΙΣ ΦΕΡΕΤΑΙ ΕΝΩΠΙΟΝ ΤΗΣ ΡΩΜΑΙΚΗΣ ΣΥΓΚΛΗΤΟΥ. — Ὁ Εὐμένης ἔσχεν ὡς διάδοχον Ἄτταλον τὸν Β'. τὸν Φιλαδελφέα, τὸν ἀδελφὸν αὐτοῦ, ὃν εἶχε διωρίσει κηδεμόνα τοῦ υἱοῦ αὐτοῦ, βραδύτερον βασιλέα γνωστὸν ὑπὸ τὸ ὄνομα Ἀττάλου τοῦ Γ', μεθ' οὗ κατέληξε καὶ ἡ βασιλεία τῆς Περγάμου.

«Ἄτταλος, ὁ ἀδελφὸς τοῦ Εὐμένους, παραλαβὼν τὴν ἐξουσίαν, πρῶτον ἐξήνεγκε δεῖγμα τῆς αὐτοῦ προαιρέσεως καὶ πράξεως τοῦ Ἀριαράθου καταγωγὴν ἐπὶ τὴν βασιλείαν 1).»

Ὁ Ἄτταλος μεθ' ὅλην τὴν προστασίαν τῶν Ρωμαίων δὲν ἠδύνατο νὰ στηριχθῇ εἰς τὸν θρόνον αὐτοῦ. Ὁ Ὀροφέρνης δοὺξ ἐθεωρεῖτο ὡς ὁ πρεσβύτερος υἱὸς τοῦ τελευταίου βασιλέως τῆς Καππαδοκίας καὶ ὅστις εἶχεν ἀποστείλει κρύφα, παῖς ἔτι ὢν εἰς Ρώμην, ὑπὸ τῆς Ἀντισχίδος, τῆς μητρὸς αὐτοῦ, παρέστη αἴφνης ὡς δικαιοῦχος τοῦ βασιλείου, τῇ εἰσηγήσει τοῦ Δημητρίου, ὃν διάφοροι αἰτίαι εἶχον ἐγείρει κατὰ τοῦ Ἀριαράθου. Ὑποστηριζόμενος οὕτω ὑπὸ τοῦ βασιλέως τῆς Συρίας, ὁ Ὀροφέρνης κατεβίβασε τοῦ θρόνου τὸν δῆθεν ἀδελφὸν αὐτοῦ. Μετέβη δὲ εἰς Ρώμην περὶ τὰ τέλη τοῦ θέρους τοῦ 158 π. χ.

«Τότε δὲ, παρειληφότων τὰς ἀρχὰς τῶν περὶ τὸν Σέξτον Ἰούλιον, ἐγίγνετο περὶ τὰς κατ' ἰδίαν ἐντεύξεις, οἰκείαν ποιούμενος περικοπὴν καὶ φαντασίαν τῆς ὑποκειμένης περιστάσεως. Παρῆσαν δὲ καὶ παρὰ Δημητρίου πρέσβεις οἱ περὶ τὸν Μιλτιάδην, πρὸς ἑκατέραν τὴν ὑπόθεσιν ἡρμοσμένοι· καὶ γὰρ περὶ Ἀριαράθου ἀπολογεῖσθαι καὶ κατηγορεῖν αὐτοῦ παρεσκευάζοντο φιλοπεχθῶς. Ἀπεστάλκει δὲ καὶ Ὀροφέρνης πρεσβευτὰς, τοὺς περὶ Τιμόθεον καὶ Διογένην, στέφανόν τε κομίζοντας τῇ Ρώμῃ, καὶ τὴν φιλίαν καὶ τὴν συμμαχίαν ἀνανεωσομένους. Τὸ δὲ πλεῖον συγκαταστησομένους τῷ Ἀριαράθῃ, καὶ τὰ μὲν ἀπολογησομένους, τὰ δὲ κατηγορήσοντας. Ἐν μὲν οὖν ταῖς κατ' ἰδίαν ἐντεύξεσιν μείζω φαντασίαν εἶλκον οἱ περὶ

---

1) Πολυβ. Βιβλ. 32. 23

τὸν Διογένην καὶ Μιλτιάδην, ἅτε καὶ κατὰ τὸ πλῆθος πρὸς ἕνα συγκρινόμενοι, καὶ κατὰ τὴν ἄλλην περικοπὴν εὐτυχοῦντες, πρὸς ἑπταικότα θεωρούμενοι· παραπλησίως δὲ καὶ περὶ τὴν τῶν πραγμάτων ἐξήγησιν πολὺ περιῆσαν· πᾶν μὲν γὰρ καὶ πρὸς παντοῖα λέγειν ἐθάρρουν, οὐδένα λόγον ποιούμενοι τῆς ἀληθείας· τὸ δὲ λεγόμενον ἀνυπεύθυνον ἦν, οὐκ ἔχον τὸν ἀπολογησόμενον. Λοιπὸν ἀκονιτὶ τοῦ ψεύδους ἐπικρατοῦντος, ἐδόκει σφίσι τὰ πράγματα κατὰ γνώμην χωρεῖν 1).»

Χάρις δὲ τῇ ὑποστηρίξει Ἀττάλου τοῦ Β', ὁ Ἀριαράθης εἰσῆλθε μετ' οὐ πολὺ εἰς Καππαδοκίαν, καὶ ἡ Ρώμη, παρεμβάσα εἰς τὴν ἔριδα δὲν ἠθέλησεν ὅπως ἡ Καππαδοκία πᾶσα ἀνήκῃ τῷ Ὀροφέρνει καὶ ἀπήτησεν ὅπως ὁ Ἀριαράθης διαμοιρασθῇ τὸ βασίλειον μετὰ τοῦ δῆθεν ἀδελφοῦ αὐτοῦ, διότι δὲν διετήρησεν ἐπὶ πολὺ τὸν θρόνον.

ΠΟΛΕΜΟΣ ΜΕΤΑΞΥ ΤΩΝ ΒΑΣΙΛΕΩΝ ΤΗΣ ΠΕΡΓΑΜΟΥ ΚΑΙ ΤΗΣ ΒΙΘΥΝΙΑΣ. — «Προυσίας μετὰ τὸ νικῆσαι τὸν Ἄτταλον, τῷ 155 ἐν Κυνὸς Κεφαλαῖς, καὶ τὸ παρελθεῖν πρὸς τὸ Πέργαμον, παρασκευασάμενος θυσίαν πολυτελῆ προσήγαγε πρὸς τὸ τέμενος τοῦ Ἀσκληπιοῦ· καὶ βουθυτήσας καὶ καλλιερρήσας, τότε μὲν ἐπανῆλθεν ἐπὶ τὴν παρεμβολήν· κατὰ δὲ τὴν ἐπιοῦσαν καταστήσας τὴν δύναμιν ἐπὶ τὸ Νικηφόριον, τούς τε νεὼς ἅπαντας διέφθειρε, καὶ τὰ τεμένη τῶν θεῶν, ἐσύλησε δὲ καὶ τοὺς ἀνδριάντας καὶ τὰ λίθινα τῶν ἀγαλμάτων.

Τὸ δὲ τελευταῖον καὶ τὸ τοῦ Ἀσκληπιοῦ ἄγαλμα βαστάσας, περιττῶς ὑπὸ Φυλομάχου κατεσκευασμένον, ἐπήνεγκεν εἰς αὐτόν. Ὧ τῇ πρότερον ἡμέρᾳ κατασπένδων ἐδουθύτει καὶ κατηύχετο, δεόμενος, ὅπερ εἰκὸς ἦν αὐτῷ γενέσθαι καὶ εὐμενῆ κατὰ πάντα τρόπον. Ἐγὼ δὲ τας τοιαύτας διαθέσεις καὶ πρότερον εἴρηκά που, περὶ Φιλίππου ποιούμενος τὸν λόγον, μανικάς. Τὸ γὰρ ἅμα μὲν θύειν καὶ τούτων ἐξιλάσκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τὰς τραπέζας καὶ τοὺς βωμοὺς ἐξάλλως, ὅπερ ὁ Προυσίας εἴθιστο ποιεῖν, γονυπετῶν καὶ γυναικιζόμενος· ἅμα δὲ ταῦτα καὶ λυμαίνε-

---

1, Πολυβ. Βιβλ. 32. 20.

σθαι, καὶ διὰ τῆς τούτων καταφθορᾶς τὴν εἰς τὸ θεῖον ὕβριν διατιθέσθαι· πῶς οὐκ ἂν εἴποι τις εἶναι θυμοῦ λυττῶντος ἔργα, καὶ φυχῆς ἐξεστηκυίας τῶν λογισμῶν; Ὃ καὶ τότε συνέβαινε γίγνεσθαι περι τὸν Προυσίαν. Ἀνδρὸς μὲν γὰρ ἔργον οὐδὲν ἐπιτελεσάμενος κατὰ τὰς προσβολὰς, ἀγεννῶς δὲ καὶ γυναικοθύμως χειρίσας καὶ τὰ πρὸς θεοὺς καὶ τὰ πρὸς ἀνθρώπους μετήγαγε τὸ στράτευμα πρὸς Ἐλαίαν· καὶ καταπειράσας τῆς Ἐλαίας, καί τινας προσβολὰς ποιησάμενος, οὐδέν δε πράττειν δυνάμενος, διὰ τὸ Σώσανδρον τὸν τοῦ βασιλέως σύντροφον εἰσεληλυθότα μετὰ στρατιωτῶν εἴργειν αὐτοῦ τὰς ἐπιβολάς, ἀπῆρεν ἐπὶ Θυατείρων. Κατὰ δὲ τὴν ἐπάνοδον τὸ τῆς Ἀρτέμιδος ἱερόν, τῆς ἐν Ἱερᾷ Κώμῃ, μετὰ βίας ἐσύλησεν, ὁμοίως καὶ τὸ τοῦ Κονίου Ἀπόλλωνος τέμενος. Τοῦ περὶ Τῆμνον, οὐ μόνον ἐσύλησεν, ἀλλὰ καὶ τῷ πυρὶ διέφθειρεν. Ἐταλαιπώρησε δὲ καὶ τὸ πεζικὸν στράτευμα τῷ Προυσίᾳ κατὰ τὴν ἐπάνοδον ὑπό τε τοῦ λιμοῦ καὶ τῆς δυσεντερίας, ὥστε παρὰ πόδας ἐκ Θεοπέμπτου δοκεῖν ἀπηντῆσθαι μῆνιν αὐτῷ διὰ ταύτας τὰς αἰτίας». 1)

«Ἄτταλος, ἡττηθεὶς παρὰ τοῦ Προυσίου, προχειρισάμενος Ἀθήναιον τὸν ἀδελφὸν ἐξαπέστειλε μετὰ τῶν περὶ τὸν Πόπλιον Λέντλον, διασαφήσοντα τῇ συγκλήτῳ τὸ γεγονός. Οἱ δὲ ἐν τῇ Ρώμῃ, τοῦ μὲν Ἀνδρονίκου παραγενομένου καὶ διασαφοῦντος τὰ περὶ τὴν πρώτην ἔφοδον τῶν πολεμίων, οὐ προσεῖχον. Ἀλλ' ὑπενόουν τὸν Ἄτταλον βουλόμενον αὐτὸν ἐπιβαλεῖν τῷ Προυσίᾳ τὰς χεῖρας, προφάσεις προκατασκευάζεσθαι καὶ προκαταλαμβάνειν διαβολεῖς. Ἅμα δὲ τοῦ τε Νικομήδους καὶ τὸν περὶ τὸν Ἀντίφιλον, τῶν παρὰ τοῦ Προυσίου πρεσβευτῶν, διαμαρτυρομένων, μηδὲν εἶναι τούτων· ἔτι μᾶλλον ἠπίστει τὰ λεγόμενα περὶ τοῦ Προυσίου. Μετὰ δέ τινα χρόνον, ἐπιδιασαφούσης τῆς πραγματείας, ἀμφιλοδοξήσασα περὶ τῶν προσπιπτόντων ἡ σύγκλητος, ἐξαπέστειλε πρεσβευτὰς Λεύκιον Ἀπουλήϊον καὶ Γάϊον Πετρώνιον, τοὺς ἐπισκεψομένους, πῶς ἔχει τὰ κατὰ τοὺς προειρημένους βασιλεῖς» 2)

---

(1) Πολυβ. Βιβλ. 32. 25—26.
(2) Πολυβ. Βιβλ. 32. 26.

«Ἡ σύγκλητος ἔτι κατὰ χειμῶνα διακούσασα τῶν περὶ Πόπλιον Λέντλον ὑπὲρ τῶν κατὰ Προυσίαν, διὰ τὸ ξενωστὶ παραγεγονέναι τούτους ἐκ τῆς Ἀσίας, εἰσεκαλέσατο καὶ τὸν Ἀθήναιον καὶ τὸν Ἀττάλου τοῦ βασιλέως ἀδελφόν. Οὐ μέντοι πολλῶν προσεδεήθη λόγων, ἀλλ' εὐθέως καταστήσασα πρεσβευτὰς συνεξαπέστειλε τῷ προειρημένῳ τοὺς περὶ Γάϊον Κλαύδιον Κέντωνα, καὶ Λεύκιον Ὀρτήσιον, καὶ Γάϊον Αὐρουγκουλήϊον, ἐντολὰς δοῦσα, κωλύειν τὸν Προυσίαν Ἀττάλῳ πολεμεῖν 1)»

«Τῶν περὶ τὸν Ὀρτήσιον καὶ Αὐρουγκουλήϊον παραγεγονότων ἐκ τοῦ Περγάμου, καὶ διασαφούντων τήν τε τοῦ Προυσίου καταφρόνησιν τῶν τῆς συγκλήτου παραγγελμάτων· καὶ διότι, παρασπονδήσας καὶ συγκλείσας εἰς τὸ Πέργαμον αὐτούς τε καὶ τοὺς περὶ τὸν Ἄτταλον πᾶσαν βίαν ἐνεδείξατο καὶ παρανομίαν· ἡ σύγκλητος ὀργισθεῖσα καὶ βαρέως φέρουσα τὸ γεγονὸς, ἐξαυτῆς δέκα πρεσβευτὰς κατέστησε, τοὺς περὶ Λεύκιον Ἀνίκιον, καὶ Γάϊον Φάννιον, καὶ Κόϊντον Φάβιον Μάξιμον· καὶ παραχρῆμα ἐξαπέστειλεν, ἐντολὰς αὐτοῖς δοῦσα, διαλῦσαι τὸν πόλεμον, καὶ τὸν Προυσίαν ἀναγκάσαι δίκαις ὑποσχεῖν Ἀττάλῳ τῶν κατὰ τὸν πόλεμον ἀδικημάτων 2).»

«Κατὰ Ἀσίαν Ἄτταλος ἔτι κατὰ χειμῶνα συνήθροιζε μεγάλας δυνάμεις, ἅτε καὶ τῶν περὶ Ἀριαράθην καὶ τὸν Μιθριδάτην ἓξ ἀπεσταλκότων αὐτῷ στρατιὰν ἱππέων καὶ πεζῶν κατὰ τὴν συμμαχίαν, ὧν ἡγεῖτο Δημήτριος ὁ Ἀριαράθου. Οὗτος δὲ περὶ ταύτας αὐτοῦ τὰς κατασκευάς, ἦκον ἐκ τῆς Ῥώμης οἱ πρέσβεις οἱ καὶ συμμίξαντες αὐτῷ περὶ Κάϋστρου, καὶ κοινολογηθέντες περὶ τῶν πραγμάτων, ὥρμησαν πρὸς τὸν Προυσίαν. Ἐπειδὴ δὲ συνέμιξαν, διεσάφουν αὐτῷ τὰ περὶ τῆς συγκλήτου μετὰ πολλῆς ἐπιστάσεως. Ὁ δὲ Προυσίας ἐνίκα μὲν τῶν προσταττομένων προσεδέχετο, τοῖς δὲ πλείστοις ἀντέλεγεν. Ἅσπερ οἱ Ῥωμαῖοι προσκόψαντες αὐτῷ, τήν τε φιλίαν ἀπεπάντο καὶ τὴν συμμαχίαν, καὶ πάντες ἐξ αὐτῆς ἀπηλλάττοντο πάλιν ὡς τὸν Ἄτταλον. Ὁ δὲ Προυσίας, μετανοήσας μέχρι μὲν τα-

1) Πολυβ. Βιβλ. 33. 1.
2) Πολυβ. Βιβλ. 33. 6.

νος ἐπηκολούθει λιπαρῶν. Ἐπεὶ δ' οὐδὲν ἤνυεν, ἀπαλλαγεὶς ἐν ἀμηχανίαις ἦν. Οἱ δὲ Ρωμαῖοι τὸν μὲν Ἄτταλον ἐκέλευον προκαθήσαντα τῆς αὐτοῦ χώρας μετὰ δυνάμεως, αὐτὸν μὲν μὴ κατάρχειν πολέμου· ταῖς δὲ πόλεσι ταῖς αὐτοῦ καὶ ταῖς κώμαις τὴν ἀσφάλειαν παρασκευάζειν. Αὐτοὶ δὲ μερίσαντες σφᾶς αὐτούς, οἱ μὲν ἔπλεον κατὰ σπουδὴν ἀπαγγέλλοντες τῇ συγκλήτῳ τὴν ἀπείθειαν τοῦ Προυσίου, τινὲς δὲ ἐπὶ τῆς Ἰωνίας ἐχωρίσθησαν, ἕτεροι δὲ ἐφ' Ἑλλησπόντου καὶ τῶν κατὰ τὸ Βυζάντιον τόπων· μίαν ἔχοντες καὶ τὴν αὐτὴν πρόθεσιν ἅπαντες, ἀπὸ μὲν τῆς Προυσίου φιλίας καὶ συμμαχίας ἀποκαλεῖν τοὺς ἀνθρώπους, Ἀττάλῳ δὲ προσνέμειν τὴν εὔνοιαν καὶ συμμαχεῖν κατὰ δύναμιν» 1).

ΣΥΝΘΗΚΗ ΜΕΤΑΞΥ ΑΤΤΑΛΟΥ ΚΑΙ ΠΡΟΥΣΙΑ.— «Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Ἀττάλου ἀδελφὸς Ἀθήναιος κατέπλευσε ναυσὶ καταφράκτοις ὀγδοήκοντα· ὧν αἱ πέντε μὲν τριήρεις ἦσαν Ροδίων, τῶν ἀποσταλεισῶν εἰς τὸν Κρητικὸν πόλεμον, εἴκοσι δὲ Κυζικηνῶν, ἑπτὰ δὲ ἐπὶ ταῖς εἴκοσι τῶν περὶ τὸν Ἄτταλον, αἱ δὲ λοιπαὶ τῶν ἄλλων συμμάχων. Ποιησάμενος δὲ τὸν πλοῦν ἐφ' Ἑλλησπόντου, καὶ συνάψας ταῖς πόλεσι ταῖς ὑπὸ Προυσίαν ταττομέναις, ἀποβάσεις τε συνεχεῖς ἐποιεῖτο καὶ κακῶς διετίθει τὴν χώραν. Ἡ δὲ σύγκλητος διακούσασα τῶν παρὰ τοῦ Προυσία πρεσβευτῶν ἀνακεχωρηκότων, ἐξ αὐτῆς, τρεῖς ἄλλους ἀπέστειλεν, Ἄππιόν τε τὸν Κλαύδιον, καὶ Λεύκιον Οὔπιον, καὶ Αὖλον Ποστούμιον. Οἳ καὶ παραγενόμενοι εἰς τὴν Ἀσίαν διέλυσαν τὸν πόλεμον εἰς τὰς τοιαύτας συνθήκας ἐπαναγόμενοι τοὺς βασιλέας ἀμφοτέρους. Ὥστε παραχρῆμα μὲν εἴκοσι καταφράκτους νῆας ἀποδοῦναι Προυσίαν Ἀττάλῳ· πεντακόσια δὲ τάλαντα κατενεγκεῖν ἐν ἔτεσιν εἴκοσι. Τὴν δὲ χώραν ἀμφοτέρους ἔχειν, ἣν καὶ πρότερον εἶχον ὅτε εἰς τὸν πόλεμον ἀνέβαινον· διορθώσασθαι δὲ Προυσίαν καὶ τὴν καταφθορὰν τῆς χώρας τῆς τε Μηθυμναίων καὶ τῶν Αἰγαιέων καὶ τῆς Κυμαίων καὶ Ἡρακλειωτῶν, ἑκατὸν τάλαντα δόντα τοῖς προειρημένοις. Γραφεισῶν δ' ἐπὶ τούτοις τῶν συνθηκῶν, ἀπῆγον τὰς δυνάμεις εἰς τὴν οἰκείαν οἱ περὶ τὸν Ἄτταλον, τὰς πεζικὰς καὶ τὰς ναυτικάς. Καὶ τῆς

(1) Πολυβ. βιβλ. 33, 10.

μὲν Ἀττάλοα καὶ Προυσίου διαφορᾶς τοιοῦτος ὅτε κατὰ μέρος χειρισμὸς ἐγενήθη τῶν πράξεων, καὶ τὸ τέλος 1).»

ΠΟΛΕΜΟΣ ΤΩΝ ΠΡΙΗΝΕΩΝ. — «Κατὰ δὲ τοὺς χρόνους τούτους καὶ Πριηνεῖς ἐνέπεσον παραλόγῳ συμφορᾷ. Δεξάμενοι γὰρ παρ' Ὀροφέρνους, ὅτ' ἐκράτησε τῆς ἀρχῆς ἐν παρακαταθήκῃ ὑ τάλαντα, ἀπῃτοῦντο κατὰ τοὺς ἑξῆς χρόνους ὑπ' Ἀριαράθου, ὅτε μετέλαβε τῆς ἀρχῆς. Οἱ μὲν οὖν Πριηνεῖς, ὡς ἐμοὶ δοκεῖ, ὀρθῶς ἵσταντο, φάσκοντες, οὐδενὶ προήσεσθαι τὰ χρήματα, ζῶντος Ὀροφέρνους, πλὴν αὐτῷ τῷ παραθεμένῳ.

Ὁ δ' Ἀριαράθης πολλοῖς ἐδόκει παραπίπτειν τοῦ καθήκοντος ἀπαιτῶν τὴν ἀλλοτρίαν παραθήκην. Οὐ μὴν ἀλλ' ἕως μὲν τούτου τάχ ἄν τις ἔχοι συγγνώμην αὐτῷ, καταπειράζοντι τῷ δοκεῖν τῆς ἐκείνου βασιλείας εἶναι τὰ χρήματα· τὸ δὲ καὶ πορρωτέρω προβαίνειν ὀργῆς καὶ φιλοτιμίας οὐδαμῶς ἐδόκει γενέσθαι κατὰ λόγον. Κατὰ δὲ τοὺς νῦν λεγομένους καιροὺς ἐπαποστείλας ἐλεηλάτει τὴν χώραν τῶν Πριηνέων, συνεργοῦντος Ἀττάλου καὶ παροξύνοντος διὰ τὴν ἰδίαν διαφοράν, ἣν εἶχεν πρὸς τοὺς Πριηνεῖς. Πολλῶν δὲ καὶ σωμάτων καὶ θρεμμάτων ἀπολομένων, καὶ πρὸς τῇ πόλει πτωμάτων γενομένων, ἀμύνασθαι μὲν οὐχ οἷοί τ' ἦσαν οἱ Πριηνεῖς, ἐπρέσβευον δὲ καὶ πρὸς Ῥοδίους, μετὰ δὲ ταῦτα ἐπὶ Ρωμαίους κατέφυγον. Ὁ δὲ οὐ προσεῖχε τοῖς λεγομένοις, καὶ Πριηνεῖς μέν, μεγάλας ἔχοντες ἐλπίδας ἐπὶ τῷ πλήθει τῶν χρημάτων, τοῖς ἐναντίοις ἐνεκύρησαν. Τῷ μὲν γὰρ Ὀροφέρνει τὴν παραθήκην ἀπέδωκαν, ὑπὸ δὲ τοῦ βασιλέως Ἀριαράθου ἱκαναῖς τισι βλάβαις περιέπεσον ἀδίκως διὰ τὴν παραθήκην» 2).

ΕΡΙΣ ΡΟΔΙΩΝ ΚΑΙ ΚΡΗΤΩΝ. — ΠΡΕΣΒΕΙΑΙ ΕΙΣ ΡΩΜΗΝ. — «Κατὰ τὸν καιρὸν τοῦτον οἱ Κρηταιεῖς πρεσβευτὰς ἀπέστειλαν πρὸς Ἀχαιοὺς ὑπὲρ βοηθείας, τοὺς περὶ Ἀντιφάτην Τηλεμνάστου, Γορτύνιον· παραπλησίως δὲ καὶ Ρόδιοι τοὺς περὶ Θεοφάνην. Οὔσης δὲ τῆς Συνόδου τῶν Ἀχαιῶν ἐν Κορίνθῳ, καὶ διαλεγομένων τῶν πρεσβευτῶν ἑκατέρων ὑπὲρ τῆς βοηθείας, ἔρεπον ταῖς γνώμαις οἱ

(1) Πολυβ. βιβλ. 33, 11.
(2) Πολυβ βιβλ. 33, 12.

πολλοὶ μᾶλλον ἐπὶ τοὺς Ροδίους· ἐντρεπόμενοι καὶ τὸ τῆς πόλεως ἀξίωμα, καὶ τὴν ὅλην αἵρεσιν τῆς πολιτείας καὶ τῶν ἀνδρῶν. Εἰς ἃ βλέπων Ἀντιφάτης, ἐβουλήθη πάλιν ἐπεισελθεῖν· τοῦ δὲ στρατηγοῦ συγχωρήσαντος ἐχρήσατο λόγοις βαρυτέροις ἢ κατὰ Κρῆτα, καὶ σπουδαιοτέροις. Καὶ γὰρ ἦν ὁ νεανίσκος οὐδαμῶς Κρητικὸς, ἀλλὰ πεφευγὼς τὴν Κρητικὴν ἀναγωγήν. Διὸ καὶ συνέβαινε τοὺς Ἀχαιοὺς ἐπιδέχεσθαι τὴν παρρησίαν αὐτοῦ καὶ μᾶλλον ἔτι διὰ τὸ τὸν πατέρα τοῦ προειρημένου, Τηλέμναστον, μετὰ πεντακοσίων Κρητῶν ἐλθόντα, συμπεπολεμηκέναι τὸν πρὸς Νάβιν πόλεμον εὐγενῶς αὐτοῖς. Πλὴν διακούσαντες, οὐδὲν ἧττον ὁρμὴν εἶχον οἱ πολλοὶ τοῖς Ροδίοις βοηθεῖν. Ἕως Καλλικράτης ὁ Λεοντάβιος ἀναστὰς, οὐκ ἔφη, δεῖν οὔτε πολεμεῖν οὐδενὶ χωρὶς τῆς Ρωμαίων γνώμης, οὔτε βοήθειαν πέμπειν οὐδενὶ κατ' οὐδενός. Καὶ διὰ ταῦτα κατίσχυσε μένειν ἐπὶ τῶν ἀντικειμένων.» 1)

ΑΠΟΤΥΧΙΑΙ ΚΑΙ ΘΑΝΑΤΟΣ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΣΩΤΗΡΟΣ. — Ὁ βασιλεὺς τῆς Συρίας ἔπεμψεν ὡσαύτως τὸν υἱὸν αὐτοῦ εἰς Ρώμην, ἀλλὰ δὲν ἠγένετο δεκτὸς τοσοῦτον καλῶς. Ὁ Δημήτριος, μεθ' ὅλας τὰς ἐνεργείας διετέλει ὄποπτος τοῖς Ρωμαίοις. Εἶχε πρὸς τούτοις πλείστους ἐχθροὺς καὶ μεταξὺ τῶν ὑπηκόων καὶ τῶν γειτόνων του. Ὁ Ὀροφέρνης, ὅστις τὸ πᾶν ὤφειλεν αὐτῷ καὶ ὅστις, ἐκδιωχθεὶς τῆς Καππαδοκίας εὗρε παρ' αὐτῷ ἄσυλον, ἀντήμειψεν αὐτὸν ἐξεγείρας κατ' αὐτοῦ τὸν λαὸν τῆς Ἀντιοχείας. Πληροφορηθεὶς τὴν ἀνωμαλίαν ὁ Δημήτριος συνέλαβεν τὸν Ὀροφέρνην καὶ περιέκλεισεν αὐτὸν εἰς Σελεύκειαν. Ἡ ἐπανάστασις ἐκηρύχθη ἀμέσως, ὑποστηριχθεῖσα ὑπὸ τῶν βασιλέων τῆς Αἰγύπτου, τῆς Καππαδοκίας καὶ τῆς Περγάμου.

Ὁ Ἡρακλείδης, ἀρχαῖος φίλος τοῦ Ἀντιόχου τοῦ ἐπιφανοῦς, ἐξήγαγεν υἱόν τινα τοῦ Ἀντιόχου τὸν Σύριον Βάλαν, ὀνομάζων αὐτὸν Ἀλέξανδρον, ὃν ἔφερεν εἰς Ρώμην μετὰ τῆς μητρὸς αὐτοῦ Λαοδίκης, θυγατρὸς τοῦ Ἀντιόχου, παρουσίασεν αὐτὸν εἰς τὴν σύγκλητον καὶ ραδιουργῶν κατώρθωσε νὰ ἐπιτύχῃ τὴν ἄδειαν τῆς κατὰ τοῦ Δημητρίου νομίμου ἐπιθέσεως. Ὁ Δημήτριος

(1) Πολύβ. Βιβλ. 33. 15.

ἀντέστη γενναίως ἀλλ᾽ ἡττηθεὶς ἀπέθανε τὸ ξῖφος ἐν τῇ χειρὶ κρατῶν (154 Π. Χ.)

ΒΙΘΥΝΙΑ. — Ο ΠΡΟΥΣΙΑΣ ΕΚΘΡΟΝΙΖΕΤΑΙ ΚΑΙ ΘΑΝΑΤΟΥΤΑΙ ΥΠΟ ΝΙΚΟΜΗΔΟΥΣ ΤΟΥ Β΄. ΥΙΟΥ ΑΥΤΟΥ. — Ὁ Προυσίας, βασιλεὺς τῆς Βιθυνίας, λέγει ὁ Πολύβιος, εἰδεχθεὶς ὢν κατὰ τὴν ἔμφασιν, καίπερ ἐκ συλλογισμοῦ οὐ βελτίων ὑπάρχων, ἥμισυς ἀνὴρ κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγενὴς καὶ γυναικώδης. Οὐ γὰρ μόνον δειλὸς ἦν, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλότριος, καὶ συλλήβδην ἐκτεθηλυμένος καὶ τῇ ψυχῇ καὶ τῷ σώματι παρ᾽ ὅλον τὸν βίον. Ὅπερ ἥκιστα βούλονται περὶ τοὺς βασιλεῖς ὑπάρχειν ἅπαντες μέν, μάλιστα δὲ τὸ τῶν Βιθυνῶν γένος.» 1)

Πρὸ πολλοῦ εἶχεν ἀποσταλεῖ εἰς Ρώμην ὁ υἱὸς αὐτοῦ Νικομήδης, οὗ ἡ δημοτικότης κατεσκίαζεν αὐτόν. Ἀπεφάσισε τέλος ν᾽ ἀπαλλαγῇ αὐτῆς, ἵνα ἀφήσῃ τὴν κληρονομίαν αὐτοῦ εἰς τὰ τέκνα ἅτινα ἔσχεν ἐκ δευτέρου γάμου. Τὸ μόνον ὅπερ διεκράτει αὐτόν, ἦτο ἡ ἐμπιστοσύνη, ἣν ἔχαιρεν ὁ υἱός του εἰς Ρώμην. Ἐξαποστείλας Μέναν τινα μετὰ μοίρας ναυτικῆς καὶ δισχιλίων στρατιωτῶν διέταξεν αὐτὸν νὰ ζητήσῃ ἀναβολὴν διὰ τὴν πληρωμὴν τῶν ὧν ὤφειλε χρημάτων τῇ Ρώμῃ, τὸν δὲ Νικομήδην, νὰ ὑποστηρίζῃ ἐνώπιον τῆς συγκλήτου τὴν αἴτησιν ταύτην.

Ὁ πρεσβευτὴς μυστικὰς ὁδηγίας εἶχε νὰ δολοφονήσῃ τὸν Νικομήδην, ἐὰν ἀπετύγχανεν. Ἡ αἴτησις ἀπερρίφθη, τοῦ Ἀνδρονίκου, πρεσβευτοῦ τοῦ Ἀττάλου, καταδείξαντος ὅτι ἡ ἐπιβολὴ τοῦ ποσοῦ τούτου ἦν εὐτελεστάτη ἀναλόγως τῶν ζημιῶν, ἃς προὐξένησε.

Ἐντοσούτῳ ὁ Μένας, μὴ τολμῶν νὰ ἐκτελέσῃ τὴν δολοφονίαν τοῦ Νικομήδους, ἀπεκάλυψεν αὐτὴν πρὸς αὐτόν. Τότε ἀμφότεροι συνεφώνησαν μετὰ τοῦ πρεσβευτοῦ τοῦ Ἀττάλου ὅπως στρέψωσι τὴν συνωμοσίαν ταύτην κατὰ τοῦ ὑποβολέως. Συνενώθησαν ὅθεν εἰς Βερενίκην τῆς Ἠπείρου, ἔνθα ὁ Νικομήδης ἀνηγορεύθη τὸ πρῶτον βασιλεὺς ὑπὸ τοῦ πρεσβευτοῦ τοῦ Ἀττάλου, τοῦ Μένα καὶ τοῦ στρατοῦ.

---

(1) Πολυβ. βιβλ. 37, 2.

Ὁ Ἄτταλος, παρεμβάς, ἐβίαζε τὸν Προυσίαν νὰ παραχωρήσῃ μέρος τοῦ βασιλείου του εἰς τὸν υἱὸν αὐτοῦ, ὁ δὲ Προυσίας ἀπήτησεν ὅτι θὰ δώσῃ αὐτῷ ἅπαν τὸ βασίλειον τῆς Περγάμου. Ἀλλ' ὁ Ἄτταλος καὶ ὁ Νικομήδης προέλαβον αὐτόν. Ἅμα τῇ προσεγγίσει αὐτῶν οἱ Βιθυνοὶ ἐπανέστησαν. Ὁ Προυσίας ἐγκαταλειφθεὶς ὑπὸ τῶν ὑπηκόων αὐτοῦ, ἐκλείσθη ἐν τῇ ἀκροπόλει τῆς Νικομηδείας μετὰ 500 Θρᾳκῶν οὓς εἶχε προμηθευθῇ παρὰ τοῦ πενθεροῦ αὐτοῦ Διεγύλη καὶ ἀνθίστατο μέχρι τῆς ἀπαντήσεως τῆς συγκλήτου, ἧς ἐπεκαλέσθη τὴν προστασίαν. Οἱ ὑπὸ τῆς συγκλήτου ἀποσταλέντες πρεσβευταὶ ἀφίκοντο, καὶ ὁ Νικομήδης μετὰ τοῦ συμμάχου του διεκήρυξαν ὅτι θὰ ἐκτελέσωσι τὰς διαταγὰς τῆς συγκλήτου, ἀλλ' οἱ προκριτώτεροι τῶν Βιθυνῶν ἀπήτησαν ὅπως ἀπαλλαγῶσι τῆς δεσποτείας τοῦ Προυσία· οἱ πρέσβεις ἀπεσύρθησαν χωρὶς νὰ εἴπωσί τι. Ὁ Προυσίας μετέβη τότε εἰς Νικομήδειαν, ἧς οἱ κάτοικοι εἶχον παραδώσει προγενεστέρως αὐτὴν τῷ Νικομήδῃ. Ὁ γέρων βασιλεὺς συλληφθεὶς ἐν τῷ ναῷ τοῦ Διὸς ἐθανατώθη κατὰ διαταγὴν τοῦ υἱοῦ του (148 Π. Χ.) 1).

ΤΕΛΟΣ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΤΤΑΛΟΥ Β'.— ΑΤΤΑΛΟΣ Ο Γ'. ΔΙΑΔΕΧΕΤΑΙ ΑΥΤΟΝ.— Κατὰ τὴν αὐτὴν ἐποχὴν ὁ Ἄτταλος ἐξεστράτευσε κατὰ τοῦ Διεγύλη βασιλέως τῶν Καινῶν καὶ πενθεροῦ τοῦ Προυσία. Ἔλαβεν ὡσαύτως μέρος εἰς τὸν τελευταῖον Μακεδονικὸν πόλεμον πέμψας στόλον ἐπὶ τῶν ὀχθῶν πρὸς ἀντιπερισπασμὸν τοῦ Ἀνδρίσκου καὶ ἐνίσχυσιν τοῦ ἐπάρχου Μετάλλου. Τὸ λοιπὸν τῆς βασιλείας του οὐδὲν παρέχει τὸ σπουδαῖον εἰς τὴν ἱστορίαν.

Διάδοχος αὐτοῦ ἦν Ἄτταλος ὁ Γ'. ἀνεψιὸς αὐτοῦ, κατηγορηθεὶς ὡς δηλητηριάσας τὸν θεῖόν του καὶ ἡ βασιλεία του ἐδικαίωσε τὰς περὶ τοῦ κακουργήματος τούτου ὑπονοίας· ὑπὸ τὴν πρόφασιν νὰ ἐκδικηθῇ τὴν μητέρα καὶ σύζυγόν του τῆς μὲν νόσῳ τελευτησάσης, τῆς δὲ γήρατι, ἐθανάτωσε πανοικεὶ τοὺς πλησιεστέρους συγγενεῖς καὶ πολλοὺς τῶν φίλων τοῦ θείου αὐτοῦ. Τούτου ἕνεκα ἐπεδόθη εἰρωνικῶς τὸ ἐπώνυμον Φιλομήτωρ. Μετὰ πενταετῆ βασιλείαν ἀπέθα-

(1) Ἀππιαν. Μιθριδάτης. 7.

νεν ἐκ μαρασμοῦ καὶ μελαγχολίας καὶ ἐγκατέστησε κληρονόμον αὐτοῦ τὸν Ρωμαϊκὸν λαὸν (133 Π. Χ.) 1).

ΔΙΑΘΗΚΗ ΤΟΥ ΑΤΤΑΛΟΥ.—ΕΞΕΓΕΡΣΙΣ ΤΟΥ ΑΡΙΣΤΟΝΙΚΟΥ.—ΠΡΩΤΑΙ ΕΠΙΤΥΧΙΑΙ ΑΥΤΟΥ.— Πρώτην ἤδη φορὰν διὰ διαθήκης ἐκληροδοτεῖτο βασίλειον εἰς ξένους. Ὁ νεωτερισμὸς οὗτος δὲν ἠδύνατο νὰ παρέλθῃ ἀθορύβως.

Ἀληθῶς οἱ ρωμαῖοι πρεσβευταί, οἱ ἀποσταλέντες ὅπως λάβωσι κατοχὴν προσεπάθησαν νὰ προσεταιρισθῶσι τοὺς Ἀσιατικοὺς ὑποσχόμενοι αὐτοῖς τὴν ἐλευθερίαν. Ἀλλὰ ἡ λέξις ἐλευθερία δὲν παρήγαγε τὴν αὐτὴν τότε αἴσθησιν ὡς ἐπὶ Φλαμινίνῳ. Εὑρέθη τις ἀντιποιούμενος τοῦ θρόνου καὶ τῆς δημοσίου δυσαρεσκείας ἐπωφελούμενος. Ὁ Ἀριστόνικος, υἱὸς φυσικὸς τοῦ Εὐμένους καὶ τῆς θυγατρὸς μουσικοῦ τινος Ἐφεσίου. Κατέλαβε κατὰ πρῶτον τὴν μεταξὺ Σμύρνης καὶ Φωκαίας Λεύκην, ἀλλ' οἱ Ἐφέσιοι ἐξεδίωξαν αὐτὸν μετά τινα ναυμαχίαν παρὰ τὴν Κύμην. Ἀπεσύρθη εἰς τὸ ἐσωτερικὸν καὶ ἐσχημάτισε στρατὸν ἐκ τῶν τυχόντων, οἵτινες ἐκαλοῦντο Ἐλαιοπολῖται, δι' ὧν τὰ Θυάτειρα καὶ ἡ Ἀπολλωνία 3 στάδια ὑπῆρχον μακρὰν τῆς Περγάμου. Ἡ Μύνδος, ἡ Σάμος, ἡ Κολοφὼν καὶ πολλαὶ ἄλλαι πόλεις ἔπεσαν εἰς χεῖρας αὐτοῦ, μεθ' ὅλας τὰς βοηθείας τῶν βασιλέων τῆς Βιθυνίας καὶ Καππαδοκίας.

Αἱ ἐν Ρώμῃ ἐμφύλιοι ταραχαὶ βεβαίως λίαν συνετέλεσαν εἰς τὴν πρόοδον τοῦ Ἀριστονίκου. Βλόσιος ὁ Κυμαῖος, προγραφεὶς μετὰ τὸν θάνατον τοῦ Τιβερίου, παρ' αὐτῷ εὗρε καταφύγιον.

ΠΟΛΕΜΟΣ ΤΟΥ ΑΡΙΣΤΟΝΙΚΟΥ.—ΘΑΝΑΤΟΣ ΤΟΥ ΚΡΑΣΣΟΥ.—ΕΠΙΤΥΧΙΑΙ ΚΑΙ ΘΑΝΑΤΟΣ ΤΟΥ ΠΕΡΠΕΡΝΑ.—Τῆς ἡσυχίας ἐπελθούσης εἰς Ρώμην, ἐξέπεμψαν εἰς Ἀσίαν πρεσβευτάς, μεταξὺ τῶν ὁποίων ἦν καὶ ὁ Σκιπίων Νασίκας, ὃν φρόνιμον ἐνόμισαν ν' ἀπομακρύνωσιν, ὅπως ἀπαλλάξωσι τοῦ μίσους τοῦ λαοῦ καὶ ὅστις ἀπέθανε σχεδὸν ἀμέσως μετὰ τὴν ἄφιξίν του εἰς Πέργαμον. Τὸ ἑπόμενον ἔτος (131) ὁ ὕπατος Αἰκίνιος Κράσσος ἦλθε μετὰ τοῦ στρατοῦ αὐτοῦ, λίαν εὐαρεστήσας, καθόσον οὐ μόνον εἰδήμων τῆς Ἑλληνικῆς γλώσσης ἦν, ἀλλὰ καὶ λίαν φιλό-

1) Ἰουστῖνος 36, 4.

φρων καὶ προσηνὴς τοὺς τρόπους. Οἱ βασιλεῖς τῆς Βιθυνίας, Καππαδοκίας, Παφλαγονίας καὶ τοῦ Πόντου προσέφερον αὐτῷ ἰσχυρὰς ἐπικουρίας. Ἐντοσούτῳ ἡ ἐπιτυχία δὲν ἦν οἵα προσεδοκᾶτο. Ὁ Ἀριστόνικος, προσκαλεσάμενος ἐπικουρίας ἐκ Θράκης καὶ Ἑλλάδος, διετήρει τὰς θέσεις του.

Ἐπειδὴ ὁ ὕπατος, τὴν λαφυραγώγησιν μόνον ἐπιδιώκων, ἦλθε παρὰ τῇ Λεύκῃ μετ' ὀλίγων δυνάμεων, καθ' ὧν ἐπιπεσὼν ὁ ἐχθρικὸς στρατὸς ἔτρεψεν αὐτὸν εἰς φυγὴν κάθ' ἣν ὁ ὕπατος, ἵνα μὴ πέσῃ εἰς χεῖρας τοῦ ἐχθροῦ ἠὐτοκτόνησε, τῆς κεφαλῆς αὐτοῦ προσενεχθείσης τῷ Ἀριστονίκῳ.

Ἐπὶ τῇ εἰδήσει ταύτῃ ὁ νέος ὕπατος Μ. Περπέρνας μετέβη εἰς Ἀσίαν (130)· ὁ Ἀριστόνικος προσεβλήθη ἐξ ἀπίνης καὶ πολιορκηθεὶς εἰς Στρατονίκην, ἠναγκάσθη νὰ παραδοθῇ. Ὁ ὕπατος ἐξαπέστειλε τὸν Ἀριστόνικον εἰς Ρώμην μετὰ τοῦ στόλου τοῦ μεταφέροντος τοὺς θησαυροὺς τοῦ Ἀττάλου. Ἡτοιμάζετο δὲ καὶ αὐτὸς ν' ἀπέλθῃ τῆς Ἀσίας, ὁπότε ἀπέθανεν εἰς Πέργαμον. Ὁ Ἀριστόνικος ἐστραγγαλίσθη ἐν τῇ φυλακῇ αὐτοῦ 1).

ΤΕΛΟΣ ΤΟΥ ΠΟΛΕΜΟΥ — ΚΑΘΙΣΤΑΤΑΙ ΕΠΑΡΧΙΑ ΡΩΜΑΙΚΗ. — Πρὸ τῆς ἐκθέσεως τοῦ πολέμου τούτου, ὁ ὕπατος τὸ ἑπόμενον ἔτος, Μ. Ἀκυΐλιος, ἔσπευσε ν' ἀναχωρήσῃ ἐλπίζων νὰ δώσῃ πέρας αὐτῷ καὶ ἀναλάβῃ οὗτος ἅπασαν τὴν δόξαν. Ἀλλ' ἀφίκετο λίαν βραδέως. Ὀλίγαι μόνον πόλεις ἔμενον μὴ ὑποταγεῖσαι. Ἐκατηγόρησαν δ' αὐτὸν ὡς δηλητηριάσαντα τὰς πηγὰς τοῦ ὕδατος πρὸς ταχεῖαν κατοχὴν αὐτῶν. Εἶτα ἔρευναι διενεργήθησαν καθ' ὅλην τὴν ἐπαρχίαν πρὸς τιμωρίαν τῶν λαβόντων τὰ ὅπλα κατὰ τῶν Ρωμαίων καὶ ἀμοιβὴν τῶν πιστῶς διατελεσάντων αὐτοῖς. Αἱ πόλεις αἵτινες ἐκηρύχθησαν ὑπὲρ τοῦ ἐχθροῦ, ἀπώλεσαν ἐν μέρει ἢ καθόλου τὰς προνομίας των· ἡ σύγκλητος ἀπεφάσισεν ὡσαύτως νὰ καταστρέψῃ τὴν Φώκαιαν, ἀλλὰ χάρις ταῖς ἱκεσίαις τῶν Μασσαλιωτῶν ἐπέτυχον χάριτος ὑπὲρ τῆς μητροπόλεως αὐτῶν· τοῦ βασιλέως Ἀριαράθου ἀποθανόντος κατὰ τὸν πόλεμον τοῦτον, προσέθεσαν εἰς τὸ βασίλειον τῶν τέκνων αὐτοῦ τὴν Λυκαονίαν καί τινας πόλεις τῆς

(1) Ἰουστῖνος, 35.

Κιλικίας. Μιθριδάτης ὁ Εὐεργέτης, βασιλεὺς τοῦ Πόντου, ἔλαβε τὴν μεγάλην Φρυγίαν χάρις ταῖς συστάσεσι τοῦ Ἀκουϊλίου, οὗ τὴν εὔνοιαν ἀπέκτησε διὰ δωρεῶν. Τὸ λοιπὸν τοῦ βασιλείου τῆς Περγάμου ἐγένετο Ρωμαϊκὴ ἐπαρχία (129 Π. Χ.) ὑπὸ τὸ ὄνομα ἐπαρχία τῆς Ἀσίας.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Η ΜΙΚΡΑ ΑΣΙΑ ΥΠΟ ΤΟΥΣ ΡΩΜΑΙΟΥΣ

ΜΕΧΡΙ ΤΗΣ ΕΓΚΑΘΙΔΡΥΣΕΩΣ ΤΟΥ ΧΡΙΣΤΙΑΝΙΣΜΟΥ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀπὸ τῆς συστάσεως τῆς Ἐπαρχίας τῆς Ἀσίας, μέχρι τοῦ πολέμου τοῦ Μιθριδάτου. (129—88.)

ΑΡΧΑΙ ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΠΟΝΤΟΥ.—Ἀφικόμεθα εἰς ἐποχήν, καθ' ἣν τὸ βασίλειον τοῦ Πόντου, μόλις γνωστὸν ἄχρι τοῦδε, ἐξέρχεται αἴφνης τοῦ σκότους καὶ ἐφελκύει τὰ βλέμματα τοῦ ρωμαϊκοῦ κόσμου· ἡ χώρα αὕτη ὑπὸ τοὺς Πέρσας διετήρει κράτος ἀνεξάρτητον σχεδόν, ὑπαγόμενον εἰς οἰκογένειαν σατραπῶν, καταγομένην ἐκ τῆς βασιλικῆς οἰκογενείας τῶν Ἀχεμενιδῶν. Ἡ οἰκογένεια αὕτη, ἐπὶ στιγμὴν ἐκθρονισθεῖσα ὑπὸ τῶν Μακεδόνων, ἐγκατέστη καὶ πάλιν ἐπὶ Ἀντιγόνου, ὅστις κατὰ τὸν Ἀππιανὸν (Μιθριδ. 9) εἶχε μεταξὺ τῶν οἰκείων αὐτοῦ Μιθριδάτην τινα, ἐκ τῆς βασιλικῆς οἰκογενείας τῆς Περσίας. Ἰδὼν δὲ κατ' ὄναρ ὅτι ἐθέριζε πεδίον χρυσίου καὶ μετέφερε τὴν συγκομιδὴν αὐτοῦ εἰς Πόντον, ἀπεφάσισε νὰ τὸν θανατώσῃ. Ἀλλ' ὁ Μιθριδάτης ἐδραπέτευσε μετὰ 69 ἱππέων, ἐκυρίευσε πρῶτον μικρὸν φρούριον καλούμενον Κιμιάτα ἐπὶ τῶν συνόρων τῆς Παφλαγονίας καὶ τῆς Ποντικῆς Καππαδοκίας καί, ἐπεκτείνων ὀλίγον κατ' ὀλίγον τὰς κατακτήσεις του, ἐπεκλήθη ἐπαξίως Κτίστης. Ὁ υἱὸς αὐτοῦ Μιθριδάτης ὁ Β'. ἐβασίλευσεν ἐπὶ μεγάλου μέρους καὶ τῶν δύο Καππαδοκιῶν. Μιθριδάτης ὁ Ἀριοβαρνάζης, ὁ ἔγγονος αὐτοῦ, ἐκυρίευσε τὴν Ἀμάστριδα. Ἐπὶ Σελεύκου τοῦ Β'. Μιθριδάτης ὁ Α'. συνεμάχησε μετὰ τῶν Σελευκιδῶν

Συνδρομηταὶ ἐγγράφονται

'Εν Σμύρνῃ, παρὰ τῷ 'Εκδότῃ.
'Εν Βουτζᾷ, » » τῇ διευθυντρίᾳ τοῦ Παρθεναγωγείου κ. Εὐδοκία Πασχάλη.
'Εν Σεϊδίκιοϊ, » » 'Ιεροψάλτῃ κ. 'Αντωνίῳ Νικολάου.
'Εν Βαϊνδηρίῳ » » ἐξ ἰατρῷ κ. Ν. Βαλασοπούλῳ.
'Εν Νέᾳ 'Εφέσῳ, » » κ. Δημ. 'Αλεξάκῃ.
'Εν Σωκίοις » » κ. Δ. Γ. Δημοπούλῳ
'Εν Δεμιρτζὴ « « κ. Θωμᾶ 'Εφένδῃ 'Αντωνιάδῃ
'Εν 'Αϊδινίῳ, » » Π. ἀγ. 'Ηλιουπόλεως κ. Ταρασίῳ.
'Εν Δενιζλῇ » » ἐλογίμῳ ἐλληλοδ. κ. Δημ Π Ν Αὐλονίτῃ
'Εν Σπάρτῃ τῆς Πισιδίας ἐξοχοτάτῳ κ. Ε. Ν. Δανοπούλῳ
'Εν Νυμφαίῳ, » » ἁγ. ἀρχιμανδρίτῃ Φ.λοθέῳ Πελλοποννησια. καὶ τῷ ἀλληλδ κ. 'Αθ. Ν. 'Ανασασοπούλῳ
'Εν Κριτζαλίοις » » κ. Κωνστ. 'Αναγνωστῃ
'Εν Λουτζακίῳ (τοῦ Νυμφαίου) παρὰ τῷ κ. Χρ. Π. 'Αρώνῃ·
'Εν Μενεμένῃ, » » κ. Ν. Γ. Καρακουλουξῇ.
'Εν Περγάμῳ, » » ἐξοχωτάτῳ ἰατρῷ κ. Ν. Ράλλῃ.
'Εν Μαγνησίᾳ » » κ. Μιμίκῳ Γ. 'Ασβεστοπούλῳ.
'Εν Κασαμπᾷ, » » ἐξοχωτάτῳ ἰατρῷ κ. 'Ιω. Δ. 'Αφθονίδῃ.
'Εν Σαλιχλὶ » » Στυλιανῷ Βοσταντζόγλου
'Εν Φιλαδελφείᾳ, » » Π. ἁγ. Φιλαδελφείας κ. Διονυσίῳ
'Εν Μιτυλήνῃ, » » ἐλογιμ. καὶ ἀρχιγραμ. τοῦ ἁγ. Μιτυλήνης κ. 'Αναστασίῳ Παναγιωτίδῃ.
'Εν Μοσχονησίοις, » » ἐξ ἰατρῷ κ. Γεωργίῳ Φλώρῳ
'Εν Κυδωνίαις, » » κ. 'Ελευθερίῳ Γρ. Κούσῃ. καὶ τοῦ 'Ιεροψάλτου κ. 'Ανδρέου Παπαδοπούλου.
'Εν Κεμειρίῳ, » » κ. Παρασκευᾷ Εὐστρ. Κεραμέως.
'Εν 'Αδραμιττίῳ, » » Δημ. Εὐστρ. Δαδιότου
'Εν Φρενελίῳ, » » κ. Σταύρῳ Βαφιάδῃ.
'Εν Δαρδανελλίοις » » Πανοσ. 'Ιερομ. κ. Γενναδίῳ καὶ τῇ διευθυντρίᾳ τοῦ Παρθεναγωγείου κ. 'Αμαλίᾳ Ζαχαρίου.
'Εν Κων)πόλει, » » Μεγάλῳ ἁγ. 'Αρχιμανδρίτῃ καὶ ἀρχιγραμματεῖ τοῦ Οἰκουμενικοῦ Πατριάρχου κ. Κωνσταντίνῳ Δελιγιάννῃ. καὶ ὑπὸ τῆς Διευθυντρίας τῆς Παλλάδος Σαπφοῦς Λεοντιάδος.
'Εν Προύσῃ » » κ. 'Ισαὰκ 'Ελευθεριάδῃ
'Εν Μάκρῃ, » » κ. Σταύρῳ Σταυριανῷ.
'Εν 'Αλεξανδρείᾳ » » 'Αλεξάνδρῳ Γ. Ρομπότῃ.
'Εν Καίρῳ, » » 'Ιεροψάλτῃ κ. Φιλίππῳ Κυριάκου.
'Εν Μιχάλλα Κιμπὶρ (Αἰγύπτου) κ. Παναγ. Γ. Ρομπότῃ.
'Εν 'Ιεροσολύμοις, » » ἁγ. 'Αρχιμανδρίτῃ καὶ Καθηγουμένῳ τῆς 'Ιερᾶς Μονῆς τοῦ Προδρόμου κ. 'Ινοκεντίῳ.
'Εν Νέᾳ Υόρκῃ (τῆς 'Αμερικῆς) κ. Ὀθωνι Γ. Ρομπότῃ.

χὼ παναγιωτάτῳ Ἀρχιεπισκόπῳ πάσης Μικρᾶς Ἀσίας
Ἀρχιεπισκόπῳ Ἐφέσου ἐν Σμύρνῃ.
ἐν Ἐφέσῳ.

ΙΣΤΟΡΙΑ
ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ.



ΤΕΥΧΟΣ ΔΕΥΤΕΡΟΝ.

Ἕκαστον τεῦχος τιμᾶται 1)4 τοῦ Μετζητιὲ,
πληρωτέου ἅμα τῇ παραλαβῇ

Δῶρα Παρθενίου Ἀρχιεπισκόπου
Ἀρχιεπισκόπου

«Ἐν δὲ τῇ Σάμῳ τότε κρατήσαντες οἱ Ἀλκιβιάδου φίλοι πέμπουσι Πείσανδρον εἰς ἄστυ κινήσοντα τὴν πολιτείαν καὶ παραθαρρύνοντα τοὺς δυνατοὺς τῶν πραγμάτων ἀντιλαμβάνεσθαι καὶ καταλύειν τὸν δῆμον, ὡς ἐπὶ τούτοις τοῦ Ἀλκιβιάδου Τισσαφέρνην αὐτοῖς φίλον καὶ σύμμαχον παρέξοντος». (411) 1)

«Τοῦτο τοίνυν, εἶπεν ὁ Πείσανδρος, οὐκ ἔστιν ἡμῖν γενέσθαι, εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον καὶ ἐς ὀλίγους μᾶλλον τὰς ἀρχὰς ποιήσομεν ἵνα πιστεύῃ ἡμῖν βασιλεύς, καὶ μὴ περὶ πολιτείας τὸ πλεῖον βουλεύσομεν ἐν τῷ παρόντι ἢ περὶ σωτηρίας (ὕστερον γὰρ ἐξέσται ἡμῖν καὶ μεταθέσθαι, ἢν μή τι ἀρέσκῃ), Ἀλκιβιάδην τε

(1) Πλούτ. Ἀλκιβιάδης, 25—26.

κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός τε τοῦτο κατεργάσασθαι.» 1)

Οἱ λόγοι τοῦ Πεισάνδρου δὲν ἐπέφερον τὸ ποθούμενον ἀποτέλεσμα· καθόσον ὁ δῆμος τῶν Ἀθηναίων δὲν ἤθελε νὰ καταστρέψῃ τὴν δημοκρατίαν, χαλεπῶς δὲ ἀκούων ἔφερε τὰς περὶ τῆς ὀλιγαρχίας προτάσεις αὐτοῦ. Οἱ ἄριστοι βλέποντες ὅτι δὲν ἠδύναντο νὰ φθάσωσιν εἰς τὸ ποθούμενον διὰ τῆς πειθοῦς κατέφυγον εἰς τὸν τρόμον, πολλοὺς τῶν δημοκρατικῶν ἀποκτείναντες.

«Ἀντέλεγέ τε, λέγει ὁ Θουκυδίδης, οὐδεὶς ἔτι τῶν ἄλλων δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείπαι, εὐθὺς ἐκ τρόπου τινος ἐπιτηδείου ἐτεθνήκει.» 2) Ἡ ὀλιγαρχικὴ μερὶς ἐθριάμβευσεν, ἀνατρέψασα τὸ συμβούλιον τῶν πεντακοσίων καὶ νέαν καθιδρύσασα ἀρχήν. Ἀλλ' ἔσχε τὴν ἀφροσύνην νὰ περιφρονήσῃ τὸν Ἀλκιβιάδην καὶ τὴν χαμέρπειαν νὰ ὑποτάξῃ τὰς Ἀθήνας ὑπὸ τοὺς πόδας τῆς Σπάρτης. Διεπραγματεύθη τὴν εἰρήνην καὶ, ἵνα ἐπιτύχῃ αὐτῆς, ἡτοιμάζετο νὰ παραδώσῃ τοῖς ἐχθροῖς τὸν στόλον καὶ τὰ τείχη τῶν Ἀθηνῶν. Οὕτωσὶν, ὁπότε ὁ στρατὸς τῆς Σάμου ἔμαθε τὴν πτῶσιν τῆς δημοκρατικῆς ἀρχῆς, λίαν ὠργίσθη. Δύο τῶν στρατηγῶν, Θρασύβουλος ὁ τοῦ Λύκου καὶ Θράσυλος «ὤρκωσαν ἅπαντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας μάλιστα, ἢ μὴν δημοκρατέεσθαί τε καὶ ὁμονοήσειν, καὶ τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι καὶ οὐδὲν ἐπικηρυκεύσεσθαι.»

«Ἐς φιλονεικίαν τε καθέστασαν, λέγει ὁ Θουκυδίδης, τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δημοκρατεῖσθαι, οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι· ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν προτέρους στρατηγοὺς, καὶ εἴ τινα τῶν τριηράρχων ὑπώπτευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθείλοντο καὶ τριηράρχους καὶ στρατηγούς, ὧν Θρασύβουλός τε καὶ Θράσυλος ὑπῆρχον· καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν πλεόνων καὶ ἐς τὰ πάντα ποριμωτέρων μεθε-

(1) Θουκ. βιβλ. VIII, 53.
(2) Θουκ. βιβλ. VIII, 66.

στάναι· ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν τὰς ἄλλας πόλεις ὧν ἄρχουσιν ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ ἐς ἐκεῖθεν ὡρμῶντο· πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον οὐκ ἀσθενῆ, ἀλλ᾽ ἢ παρ᾽ ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμυνεῖσθαι οὗπερ καὶ πρότερον· καὶ δυνατώτεροι εἶναι σφεῖς ἔχοντες τὰς ναῦς πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει» (1)

Ὁ Ἀλκιβιάδης, ὁ κρύφα ὑποκινήσας τὴν τῶν ἀριστοκρατικῶν ταύτην στάσιν, δὲν ἐβράδυνε νὰ ταχθῇ, σὺν τῷ στρατῷ τῆς Σάμου, μετὰ τῆς δημοκρατικῆς μερίδος. Οἱ στρατιῶται ἀποδείξαντες αὐτὸν στρατηγὸν ἐκέλευον ἡγεῖσθαι καὶ καταλύειν τοὺς τυράννους.

« Ὁ δ᾽ οὐχ οἷον ἄν τις ἐξαίφνης χάριτι τῶν πολλῶν μέγας γεγονὼς ἔπαθε καὶ ἠγάπησε, πάντα δεῖν εὐθὺς οἰόμενος χαρίζεσθαι καὶ μηδὲν ἀντιλέγειν τοῖς ἐκ πλάνητος καὶ φυγάδος αὐτὸν νεῶν τοσούτων καὶ στρατοπέδου καὶ δυνάμεως τηλικαύτης ἀποδείξασιν ἡγεμόνα καὶ στρατηγόν, ἀλλ᾽ ὅπερ ἦν ἄρχοντι μεγάλῳ προσῆκον, ἀνθίστασθαι φερομένοις ὑπ᾽ ὀργῆς, κωλύσας ἐξαμαρτεῖν, τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς ἔσωσεν. Εἰ γὰρ ἄραντες ἀπέπλευσαν οἴκαδε, τοῖς μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, Ἑλλήσποντον ἁμαχεὶ καὶ τὰς νήσους, Ἀθηναίοις δὲ πρὸς Ἀθηναίους μάχεσθαι τὸν πόλεμον εἰς τὴν πόλιν ἐμβαλόντας, ὃν μόνος μάλιστα μὴ γενέσθαι διεκώλυσεν ὁ Ἀλκιβιάδης οὐ μόνον πείθων καὶ διδάσκων τὸ πλῆθος, ἀλλὰ καὶ καθ᾽ ἕνα τοὺς μὲν ἀντιβολῶν, τῶν δὲ ἐπιλαμβανόμενος. Συνέπραττε δὲ αὐτῷ καὶ Θρασύβουλος ὁ Στειριεὺς ἅμα πάρων καὶ κεκραγώς· ἦν γάρ, ὡς λέγετε, μεγαλοφωνότατος Ἀθηναίων. Ἐκεῖνό τε δὴ καλὸν τοῦ Ἀλκιβιάδου τὸ δεύτερον, ὅτι ὑποσχόμενος τὰς Φοινίσσας ναῦς, ἃς προσεδέχοντο Λακεδαιμόνιοι βασιλέως πέμψαντος, ἢ μεταστήσειν πρὸς αὐτοὺς ἢ διαπράξεσθαι μηδὲ πρὸς ἐκείνους κομισθῆναι, διὰ ταχέων ἐξέπλευσε. Καὶ τὰς μὲν ναῦς ἐμφανείσας περὶ Ἄσπενδον οὐκ ἦγαγεν ὁ Τισσαφέρνης, ἀλλ᾽ ἐψεύσατο τοὺς Λακεδαιμονίους, τὴν δ᾽ αἰτίαν τοῦ ἀποστρέψαι παρ᾽ ἀμφοτέροις ὁ Ἀλκιβιάδης εἶχε, καὶ

(1) Θουκ. βιβλ. VIII, 76.

μᾶλλον ἔτι παρὰ τοῖς Λακεδαιμονίοις, ὡς διδάσκων τὸν βάρβαρον ὑφ' αὑτῶν περιορᾶν ἀπολλυμένους τοὺς Ἕλληνας. Οὐ γὰρ ἦν ἄδηλον, ὅτι τοῖς ἑτέροις δύναμις τοσαύτη προσγινομένη τοὺς ἑτέρους ἀφῃρεῖτο κομιδῇ τὸ κράτος τῆς θαλάσσης» 1).

ΤΡΙΤΗ ΣΥΝΘΗΚΗ ΤΙΣΣΑΦΕΡΝΟΥΣ ΜΕΤΑ ΤΩΝ ΠΕΛΟΠΟΝΝΗΣΙΩΝ. — Ὁ Τισσαφέρνης μετ' ὀλίγον καιρὸν τρίτην συνθήκην συνῆψε μετὰ τῶν Πελοποννησίων ἔχουσαν οὕτω:

«Τρίτῳ καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνθῆκαι ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πρὸς Τισσαφέρνη καὶ Ἱεραμένη καὶ τοὺς Φαρνάκου παῖδας περὶ τῶν βασιλέων πραγμάτων καὶ Λακεδαιμονίων καὶ τῶν ξυμμάχων· χώραν τὴν βασιλέως ὅση τῆς Ἀσίας ἐστὶ, βασιλέως εἶναι· καὶ περὶ τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς ὅπως βούλεται. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ ἰέναι ἐπὶ χώραν τὴν βασιλέως ἐπὶ κακῷ μηδενὶ, μηδὲ βασιλέα ἐπὶ τὴν Λακεδαιμονίων χώραν μηδὲ τῶν ξυμμάχων ἐπὶ κακῷ μηδενί· ἤν δέ τις Λακεδαιμονίων ἢ τῶν ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κωλύειν· καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ Λακεδαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω· τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνη παρέχειν κατὰ τὰ ξυγκείμενα μέχρι ἂν αἱ νῆες αἱ βασιλέως ἔλθωσι. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυτῶν ναῦς ἤν βούλωνται τρέφειν, ἐφ' ἑαυτοῖς εἶναι· ἤν δὲ παρὰ Τισσαφέρνους λαμβάνειν ἐθέλωσι, τὴν τροφὴν Τισσαφέρνη παρέχειν· Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους τελευτῶντος τοῦ πολέμου τὰ χρήματα Τισσαφέρνει ἀποδοῦναι ὁπόσα ἂν λάβωσιν· ἐπὴν δὲ αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν πόλεμον πολεμούντων καθ' ὅ τι ἂν Τισσαφένει δοκῇ καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις· ἤν δὲ καταλύειν βούλωνται πρὸς Ἀθηναίους, ἐν ὁμοίῳ καταλύεσθαι.» 2)

---

(1) Πλουτ. Ἀλκιβιάδης, 26.

(2) Θουκ. βιβλ. VIII, 58.

ΠΟΡΕΙΑ ΤΙΣΣΑΦΕΡΝΟΥΣ ΕΙΣ ΑΣΠΕΝΔΟΝ. — Οἱ ὅροι τῆς συνθήκης ταύτης ἦσαν κατὰ τύπους μόνον· διὰ τοῦτο καὶ ὁ Τισσαφέρνης, οὐχὶ μόνον αὐτὸς ἐξεβίασεν αὐτούς, ἀλλὰ προσεκάλεσε καὶ τοὺς Πελοποννησίους νὰ πράξωσι τὸ αὐτό. Ὅθεν καὶ παραλαβὼν τὸν στρατηγὸν Λίχαν, ἀφήσας δὲ ὕπαρχον τῆς στρατιᾶς αὐτοῦ, τὸν Ταμὼν, ὅπως δίδῃ τροφὴν αὐτῇ, ἐνόσῳ αὐτὸς ἀπουσίαζεν, ἀνεχώρησεν ὅπως εὕρῃ εἰς Ἄσπενδον τὰς Φοινίσσας ναῦς. «Λέγεται δὲ οὐ κατὰ ταὐτὸ, λέγει ὁ Θουκυδίδης, οὐδὲ ῥάδιον εἰδέναι τίνι γνώμῃ παρῆλθεν ἐς τὴν Ἄσπενδον καὶ παρελθὼν οὐκ ἤγαγε τὰς ναῦς· ὅτι μὲν γὰρ αἱ Φοίνισσαι νῆες ἑπτὰ καὶ τεσσαράκοντα καὶ ἑκατὸν μέχρι Ἀσπένδου ἀφίκοντο σαφές ἐστι· διότι δὲ οὐκ ἦλθον πολλαχῇ εἰκάζεται. Οἱ μὲν γὰρ ἵνα διατρίβῃ ἀπελθὼν, ὥσπερ καὶ διενοήθη, τὰ τῶν Πελοποννησίων (τροφὴν γοῦν οὐδὲν βέλτιον, ἀλλὰ καὶ χεῖρον ὁ Ταμὼς, ᾧ προσετάχθη, παρεῖχεν), οἱ δὲ ἵνα τοὺς Φοίνικας προαγαγὼν εἰς τὴν Ἄσπενδον ἐκχρηματίσαιτο ἀφεὶς (καὶ γὰρ ὡς αὐτοῖς οὐδὲν ἔμελλε χρήσεσθαι), ἄλλοι δ' ὡς οὐκ ἀδικεῖ, ἀλλὰ καὶ σαφῶς οἴχεται ἐπὶ τὰς ναῦς ἀληθῶς πεπληρωμένας· ἐμοὶ μέντοι δοκεῖ σαφέστατον εἶναι τριβῆς ἕνεκα καὶ ἀνακωχῆς τῶν Ἑλληνικῶν τὸ ναυτικὸν οὐκ ἀγαγεῖν, φθορᾶς μὲν, ἐνόσῳ παρῆει ἐκεῖσε καὶ διέμελλεν, ἀνισώσεως δὲ, ὅπως μηδετέρους προσθέμενος ἰσχυροτέρους ποιήσειν, ἐπεὶ εἴγε ἐβουλήθη, διαπολεμῆσαι ἂν ἐπιφανεὶς δήπου οὐκ ἐνδοιαστῶς· κομίσας γὰρ ἂν Λακεδαιμόνιοι τὴν νίκην κατὰ τὸ εἰκὸς ἔδωκεν, οἵ γε καὶ ἐν τῷ παρόντι ἀντιπάλως μᾶλλον ἢ ὑποδεεστέρως τῷ ναυτικῷ ἀνθώρμουν· καταφωρᾷ δὲ μάλιστα καὶ ἣν εἶπε πρόφασιν οὐ κομίσας τὰς ναῦς. Ἔφη γὰρ αὐτὰς ἐλάσσους ἢ ὅσας βασιλεὺς ἔταξε ξυλλεγῆναι· ὁ δὲ χάριν ἂν δήπου ἐν τούτῳ μείζω ἔτι ἔσχεν, οὔτε ἀναλώσας πολλὰ τῶν βασιλέως, τά τε αὐτὰ ἀπ' ἐλασσόνων πράξας· ἐς δ' οὖν τὴν Ἄσπενδον, ἥτινι δὴ γνώμῃ ὁ Τισσαφέρνης ἀφικνεῖται καὶ τοῖς Φοινιξὶ ξυγγίγνεται.» 1)

Καὶ ὁ Ἀλκιβιάδης, πληροφορηθεὶς τὴν εἰς Ἄσπενδον ἔλευσιν τοῦ Τισσαφέρνους, ἔπλευσε καὶ οὗτος ἐκεῖσε λαβὼν τρεῖς καὶ δέκα ναῦς (411).

---

(1) Θουκ. Βιβλ. VIII. 87.

ΝΕΑ ΕΓΚΑΤΑΣΤΑΣΙΣ ΤΗΣ ΔΗΜΟΚΡΑΤΙΑΣ ΕΝ ΑΘΗΝΑΙΣ (411). — Οἱ Ἀθηναῖοι, μεθ' ὅλην τὴν ἀπέλπιδα ταύτην κατάστασιν, ἐξώπλισαν εἴκοσιν εἰσέτι ναῦς. Ἀλλ' ἡ συμφορὰ αὕτη ἦν ἡ καταδίκη τῆς ὀλιγαρχίας. Ἐκκλησία, συνελθοῦσα εἰς Πνύκα, κατέλυσε μὲν τοὺς τετρακοσίους, παρέδωσε δὲ τὴν ἀρχὴν εἰς τοὺς πεντακισχιλίους, «ψηφισαμένη εἶναι αὐτῶν ὁπόσοι καὶ ὅπλα παρέχοντες· καὶ μισθὸν μηδένα φέρειν μηδεμιᾶς ἀρχῆς, εἰδὲ μή, ἐπάρατον ἐποιήσαντο·» οἱ πλεῖστοι τῶν τετρακοσίων κατέφυγον εἰς Δικέλειαν παρὰ τοῖς Λακεδαιμονίοις. «Ἐψηφίσαντο δὲ καὶ Ἀλκιβιάδην καὶ ἀλλους μετ' αὐτοῦ κατιέναι, καὶ παρά τε ἐκεῖνον καὶ παρὰ τὸ ἐν Σάμῳ στρατόπεδον πέμψαντες διεκελεύοντο ἀνθάπτεσθαι τῶν πραγμάτων» 1)

Ο ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΣ ΣΤΟΛΟΣ ΔΙΑΒΑΙΝΕΙ ΤΟΝ ΕΛΛΗΣΠΟΝΤΟΝ. — ΝΑΥΜΑΧΙΑ ΕΝ ΣΗΣΤΩ ΚΑΙ ΑΒΥΔΩ (411). — Ἐντοσούτῳ ὁ Μίνδαρος, ναύαρχος τοῦ Πελοποννησιακοῦ στόλου, πεισθεὶς ὅτι αἵ τε Φοίνισσαι νῆες δὲν ἤθελον ἔλθει, ἡ δὲ Λακεδαιμων ἐνεπαίχθη ὑπὸ τοῦ Τισσαφέρνους, ἄρας ἀπὸ τῆς Μιλήτου ναυσὶ τρισὶ καὶ ἑβδομήκοντα ἔπλευσε πρὸς τὸν Ἑλλήσποντον. Ὁ δὲ Φαρνάβαζος ἐπεκαλεῖτο αὐτοὺς καὶ ἦν πρόθυμος κομίσαι τὰς ναῦς καὶ αὐτὸς τὰς λοιπὰς ἔτι πόλεις τῆς ἑαυτοῦ ἀρχῆς ἀποστῆναι τῶν Ἀθηναίων, ὥσπερ ὁ Τισσαφέρνης, ἐλπίζων πλέον τι σχήσειν ἀπ' αὐτοῦ 2).

Καθ' ὃν χρόνον οἱ τῶν Ἀθηναίων στρατηγοὶ, θεωροῦντες τοὺς Λακεδαιμονίους παραπλέοντας, ἀνήχθησαν ἐκ Σάμου ἐπ' αὐτοὺς μετὰ νηῶν ἑξήκοντα, «οἱ Λακεδαιμόνιοι θεωροῦντες τοὺς πολεμίους τὰ πρὸς τὴν μάχην ἑτοιμαζομένους, καὶ αὐτοὶ πένθ' ἡμέρας ἀναπεῖραν ποιούμενοι καὶ γυμνάσαντες τοὺς ἐρέτας, ἐξέταξαν τὸν στόλον εἰς ναυμαχίαν, ὄντων τῶν νεῶν δυοῖν ἔλαττω τῶν ἐννενήκοντα. Οὗτοι μὲν ἐκ τοῦ πρὸς τὴν Ἀσίαν μέρους ἔστησαν τὰς ναῦς, οἱ δὲ Ἀθηναῖοι τὸ πρὸς τὴν Εὐρώπην ἔχοντες ἀντηνοίγοντο, τῷ μὲν πλήθει λειπόμενοι, ταῖς δ' ἐμπειρίαις ὑπερέχοντες. Λακεδαιμόνιοι μὲν οὖν

(1) Θουκ. βιβλ. VIII, 97.
(2) Θουκ. βιβλ. VIII, 99.

ἐκ τοῦ δεξιοῦ κέρατος ἔταξαν τοὺς Συρακουσίους, ὧν Ἑρμοκράτης ἀφηγεῖτο· τὸ δὲ εὐώνυμον αὐτοῖς συνεπλήρουν Πελοποννήσιοι, Μινδάρου τὴν ἡγεμονίαν ἔχοντος. Τῶν δὲ Ἀθηναίων ἐπὶ μὲν τὸ δεξιὸν ἐτάχθη Θράσυλλος, ἐπὶ δὲ τὸ εὐώνυμον Θρασύβουλος. Καὶ τὸ μὲν πρῶτον ἔσπευδον ἀμφότεροι φιλοτιμούμενοι περὶ τοῦ τόπου, ὅπως μὴ τὸν ροῦν ἔχωσιν ἐναντίον· διὸ καὶ πολὺν χρόνον ἀλλήλους περιέπλεον, διακλείοντες τὰ στενὰ καὶ περὶ τῆς στάσεως τοπομαχοῦντες. Μεταξὺ γὰρ Ἀβύδου καὶ Σηστοῦ τῆς ναυμαχίας γινομένης συνέβαινε τὸν ροῦν οὐ μετρίως ἐμποδίζειν ἐν στενοῖς τόποις. Οὐ μὴν ἀλλ' οἱ τῶν Ἀθηναίων κυβερνῆται πολὺ ταῖς ἐμπειρίαις προσέχοντες πολλὰ πρὸς τὴν νίκην συνεβάλοντο.

Τῶν γὰρ Πελοποννησίων ὑπερεχόντων τῷ πλήθει τῶν νηῶν καὶ ταῖς τῶν ἐπιβατῶν ἀρεταῖς, ἡ τέχνη τῶν κυβερνητῶν ἄχρηστον τὴν ὑπεροχὴν τῶν ἐναντίων ἐποίει· ὁπότε γὰρ οἱ Πελοποννήσιοι κατὰ σπουδὴν ἀθρόαις ταῖς ναυσὶν εἰς εἰσβολὴν ἐπιφέροιντο, τὰς ἑαυτῶν οὕτω φιλοτέχνως καθίστανον ὥστε τοῦ μὲν ἄλλου μέρους αὐτὰς μὴ δύνασθαι θίγειν, τοῖς δὲ στόμασι τῶν ἐμβόλων μόνης ἀναγκάζεσθαι συμβάλειν, διόπερ ὁ Μίνδαρος ὁρῶν ἄπρακτον οὖσαν τὴν ἐκ τῶν ἐμβολῶν βίαν, κατ' ὀλίγας καὶ κατὰ μίαν ἐκέλευσε συμπλέκεσθαι· οὐ μὴν οὐδ' ἐνταῦθα τὴν τῶν κυβερνητῶν τέχνην ἄπρακτον εἶναι συνέβαινεν, ἀλλ' εὐφυῶς ἐκκλίνοντες τὰς τῶν νεῶν ἐπιφερομένας ἐμβολὰς πλαγίαις ἐνέσειον καὶ πολλὰς κατετίτρωσκον· φιλοτιμίας δὲ ἐμπεσούσης εἰς ἀμφοτέρους, οὐ μόνον ταῖς ἐμβολαῖς διεκινδύνευον ἀλλὰ συμπλεκόμενοι τοῖς ἐπιβάταις διηγωνίζοντο· πολλὰ δ' ὑπὸ τῆς τοῦ ροῦ βίας διακωλυόμενοι πράττειν ἐφ' ἱκανὸν χρόνον διεκινδύνευον οὐδετέρων δυνάμεων τυχεῖν τῆς νίκης. Ἰσορρόπου δὲ τῆς μάχης οὔσης, ἐπεφάνησαν ὑπέρ τινος ἄκρας ναῦς εἴκοσι πέντε παρὰ τῶν συμμάχων ἀπεσταλμέναι τοῖς Ἀθηναίοις· φοβηθέντες δὲ οἱ Πελοποννήσιοι πρὸς τὴν Ἄβυδον ἔφυγον, ἐξαπτομένων τῶν Ἀθηναίων καὶ φιλοτιμώτερον διωξάντων. Τῆς δὲ ναυμαχίας τοιοῦτο τέλος λαβούσης, Ἀθηναῖοι ναῦς ἔλαβον ὀκτὼ μὲν Χίων, πέντε δὲ Κορινθίων, Ἀμβρακιωτῶν δὲ δύο, Συρακουσίων δὲ καὶ Παλληνέων καὶ Λευκαδίων μίαν ἐξ ἑκάστου· αὐτοὶ δὲ πέντε ναῦς ἀπέβαλον, ἃς πάσας βυθισθῆναι συνέβη· μετὰ δὲ ταῦθ' οἱ περὶ τὸν Θρασύβουλον ἔ-

στησαν τρόπαιον ἐπὶ τῆς ἄκρας, οὗ τὸ τῆς Ἑκάβης ἔστι μνημεῖον καὶ τοὺς ἀπαγγελοῦντας τὴν νίκην εἰς Ἀθήνας ἔπεμψαν» 1). Ἡ νίκη αὕτη ἦτο ἡ πρώτη παρηγορήσασα τοὺς Ἀθηναίους ἀπὸ τῆς ἐν Σικελίᾳ ἐκστρατείας.

ΑΛΩΣΙΣ ΤΗΣ ΚΥΖΙΚΟΥ (411) — Οἱ νικηταὶ μετὰ παντὸς τοῦ στόλου ἀπέπλευσαν ἐπὶ τὴν Κύζικον, ἥτις «πρὸ τῆς ναυμαχίας ἦν ἀφεστεκυῖα πρὸς Φαρνάβαζον τὸν Δαρείου στρατηγὸν καὶ Κλέαρχον τῶν Λακεδαιμονίων ἡγεμόνα· εὑρόντες δ' αὐτὴν ἀτείχιστον, ῥαδίως τῆς ἐπιβολῆς ἐκράτησαν, καὶ χρήματα πραξάμενοι τοὺς Κυζικηνούς, ἀπέπλευσαν εἰς Σηστόν.» 2)

ΟΙ ΑΝΤΑΝΔΡΙΟΙ ΕΚΔΙΩΚΟΥΣΙ ΤΗΝ ΠΕΡΣΙΚΗΝ ΦΡΟΥΡΑΝ. — Οἱ Λακεδαιμόνιοι λίαν ὀργισθέντες ἐπὶ τῇ κακῇ ἐκβάσει τοῦ ἔργου αὐτῶν καὶ τὴν ἀποτυχίαν των ἀποδίδοντες εἰς τὴν ἀπιστίαν τοῦ Τισσαφέρνους, ὑπεστήριξαν τὴν κατὰ τοῦ σατράπου στάσιν τῆς Ἀντάνδρου. «Ὄντων δὲ τῶν Πελοποννησίων ἐν τῷ Ἑλλησπόντῳ, Ἀντάνδριοι (εἰσὶ δὲ Αἰολεῖς) παρακομισάμενοι ἐκ τῆς Ἀβύδου πεζῇ διὰ τῆς Ἴδης τοῦ ὄρους ὁπλίτας ἐσηγάγοντο ἐς τὴν πόλιν, ὑπὸ Ἀρσάκου τοῦ Πέρσου, Τισσαφέρνου ὑπάρχου, ἀδικούμενοι, ὅπερ καὶ Δηλίους τοὺς Ἀδραμύττιον κατοικήσαντας, ὅτε ὑπ' Ἀθηναίων Δήλου καθάρσεως ἕνεκα ἀνέστησαν, ἔχθραν προσποιησάμενος ἄδηλον καὶ ἐπαγγείλας στρατιὰν αὐτῶν τοῖς βελτίστοις, ἐξαγαγὼν ὡς ἐπὶ φιλίᾳ καὶ ξυμμαχίᾳ, τηρήσας ἀριστοποιουμένους καὶ περιστήσας τοὺς ἑαυτοῦ κατηκόντισε· φοβούμενοι οὖν αὐτὸν διὰ τοῦτο τὸ ἔργον μήποτε καὶ περὶ σφᾶς τι παρανομήσῃ, καὶ ἄλλα ἐπιβάλλοντος αὐτοῦ ἃ φέρειν οὐκ ἠδύναντο, ἐκβάλλουσι τοὺς φρουροὺς αὐτοῦ ἐκ τῆς Ἀκροπόλεως.

Ὁ δὲ Τισσαφέρνης αἰσθόμενος καὶ τοῦτο τῶν Πελοποννησίων τὸ ἔργον καὶ οὐ μόνον τὸ ἐν Μιλήτῳ καὶ Κνίδῳ (καὶ ἐνταῦθα γὰρ αὐτοῦ ἐξεπεπτώκεσαν οἱ φρουροὶ) διαβεβλῆσθαί τε νομίσας σφόδρα καὶ δείσας μὴ καὶ ἄλλο τι ἔτι βλάπτωσι, καὶ ἅμα ἀχθόμενος εἰ Φαρνάβαζος ἐξ ἐλάσσονος χρόνου καὶ δαπάνης, δεξάμενος αὐ-

(1) Διοδ. Σικελ. Β. 13. 38—41.
(2) Διοδ. Σικελ. Β. 13. 40.

τοὺς κοτορθώσει τι μᾶλλον τῶν πρὸς τοὺς Ἀθηναίους, πορεύεσθαι διενοεῖτο πρὸς αὐτοὺς ἐπὶ τοῦ Ἑλλησπόντου.» 1)

ΝΕΑ ΗΤΤΑ ΤΩΝ ΠΕΛΟΠΟΝΝΗΣΙΩΝ ΕΙΣ ΔΑΡΔΑΝΕΙΟΝ. — Ὁ ναύαρχος Δωριεὺς ὁ Ῥόδιος ἐξέπλευσεν ὅπως μεταβὰς συνενωθῇ μετὰ τοῦ Μινδάρου, ὅστις, ἐν Ἀβύδῳ διατρίβων, συνῆγε πανταχόθεν τὰς συμμαχούσας ναῦς τοῖς Πελοποννησίοις. Ἅμα ἐπλησίασε περὶ τὸ Σίγειον τῆς Τρῳάδος, οἱ περὶ τὴν Σηστὸν Ἀθηναῖοι ἔπλευσαν κατ' αὐτοῦ, ὅστις, ἐν δυσχερεῖ θέσει εὑρεθεὶς καὶ μηδεμίαν ἄλλην σωτηρίαν ὁρῶν, κατέφυγεν εἰς Δαρδάνειον τῆς Τρῳάδος· ὁ Μίνδαρος ἔσπευσεν ἀμέσως πρὸς βοήθειάν του, ἀλλὰ παραυτα ἐφάνη καὶ τὸ πεζὸν στράτευμα τοῦ Φαρναβάζου, ἵνα βοηθήσῃ τοὺς Λακεδαιμονίους· ὡς δὲ ἐγγὺς ἐγένοντο οἱ στόλοι διέταξαν ἀμφότεροι τὰς τριήρεις εἰς ναυμαχίαν καὶ ἔδωσαν τὸ συνθημα τῆς μάχης. «Οἱ σαλπιγκταὶ ἀφ' ἑνὸς παραγγέλματος ἤρξαντο σημαίνειν τὸ πολεμικόν· καὶ τῶν μὲν ἐρετῶν οὐθὲν ἐλλειπόντων προθυμίας, τῶν δὲ κυβερνητῶν ἐντέχνως τοῖς οἴαξι χρωμένων, καταπληκτικὸν συνέβαινε γίνεσθαι τὸν ἀγῶνα. Ὁπότε γὰρ αἱ τριήρεις εἰς ἐμβολὴν ἐπεφέροντο, τηνικαῦτα οἱ κυβερνῆται πρὸς αὐτὴν τὴν τοῦ καιροῦ ροπὴν ἐπέστρεφον τὰς ναῦς πραγματικῶς, ὥστε τὰς πληγὰς γίνεσθαι κατ' ἐμβολήν. Οἱ μὲν οὖν ἐπιβάται θεωροῦντες τὰς ἑαυτῶν ναῦς πλαγίας συνεπιφερομένας ταῖς τῶν πολεμίων τριήρεσι περιδεεῖς ἐγίνοντο, περὶ σφῶν ἀγωνιῶντες· ὁπότε δ' οἱ κυβερνῆται ταῖς ἐμπειρίαις ἐκκρούσειαν τὰς ἐπιφοράς, πάλιν ἐγίνοντο περιχαρεῖς καὶ μετέωροι ταῖς ἐλπίσιν. Οὐ μὴν οὐδ' οἱ ἐν τοῖς καταστρώμασιν ἐπιβεβηκότες ἄπρακτον εἶχον τὴν φιλοτιμίαν, ἀλλ' οἱ μὲν ἐκ πολλοῦ διαστήματος ἀφεστηκότες ἐτόξευον κατὰ τὸ συνεχές, καὶ ταχὺ ὁ τόπος ἦν βελῶν πλήρης, οἱ δ' ἀεὶ προσιόντες ἐγγυτέρω τὰς λόγχας ἠκόντιζον, οἳ μὲν ἐπὶ τοὺς ἀμυνομένους ἐπιβάτας, οἳ δ' ἐπ' αὐτοὺς βαλεῖν φιλοτιμούμενοι τοὺς κυβερνήτας· ὁπότε δὲ συνερείσειαν αἱ ναῦς, τοῖς τε δόρασιν ἠγωνίζοντο καὶ κατὰ τὰς προσαγωγὰς εἰς τὰς τῶν πολεμίων τριήρεις μεθαλλόμενοι τοῖς ξίφεσιν ἀλλήλοις ἠμύνοντο· κατὰ δὲ τὰς γινομένας ἐλαττώσεις τῶν νικώντων

(1) Θουκ. βιβλ. VIII, 108—109.

ἐπαλαλαζόντων καὶ τῶν ἄλλων μετὰ βοῆς παραβοηθούντων, κραυγὴ σύμμικτος ἐγίνετο παρ᾽ ὅλον τὸν τῆς ναυμαχίας τόπον· ἐπὶ πολὺν οὖν χρόνον ἰσόρροπος ἦν ἡ μάχη διὰ τὴν ὑπερβολὴν τῆς παρ᾽ ἀμφοτέροις φιλοτιμίας· μετὰ δὲ ταῦτα Ἀλκιβιάδης ἐκ Σάμου παραδόξως ἐπεφάνη μετὰ νηῶν εἴκοσι, πλέων κατὰ τύχην εἰς Ἑλλήσποντον· τούτων δὲ πόρρω μὲν οὐσῶν, ἑκάτεροι σφίσι βοήθειαν ἐλπίζοντες παραγενέσθαι μετέωροι ταῖς ἐλπίσιν ἐγίνοντο καὶ πολὺ προθυμότερον ταῖς τόλμαις διεκινδύνευον. Ἐπεὶ δ᾽ ἤδη σύνεγγυς ἦν ὁ στόλος, καὶ τοῖς μὲν Λακεδαιμονίοις οὐδὲν ἐφαίνετο σύσσημον, τοῖς δ᾽ Ἀθηναίοις Ἀλκιβιάδης μετέωρον ἐποίησεν ἐπίσημον φοινικοῦν ἀπὸ τῆς ἰδίας νεώς, ὅπερ ἦν σύσσημον αὐτοῖς διατεταγμένον, οἱ μὲν Λακεδαιμόνιοι καταπλαγέντες ἐτράπησαν, οἱ δ᾽ Ἀθηναῖοι τῷ προτερήματι μετεωρισθέντες μετὰ σπουδῆς ἐπεδίωκον τὰς ὑποφευγούσας· καὶ δέκα μὲν νεῶν εὐθὺς ἐκυρίευσαν, μετὰ δὲ ταῦτα χειμῶνος ἐπιγενομένου καὶ πνευμάτων μεγάλων πολλὰ περὶ τὸν διωγμὸν αὐτοὺς ἐμποδίζεσθαι συνέβαινε· διὰ γὰρ τὸ μέγεθος τῶν κυμάτων τὰ μὲν σκάφη τοῖς οἴαξιν ἠπείθει, τὰς δ᾽ ἐμβολὰς ἀπράκτους συνέβαινε γίνεσθαι τῶν τυπτομένων νεῶν ὑποχωρουσῶν.

Τέλος δ᾽ οἱ μὲν Λακεδαιμόνιοι πρὸς τὴν γῆν κατενεχθέντες ἔφυγον πρὸς τὸ πεζὸν τοῦ Φαρναβάζου στρατόπεδον, οἱ δ᾽ Ἀθηναῖοι τὸ μὲν πρῶτον ἐπεχείρησαν ἀποσπᾶν τὰς ναῦς ἀπὸ τῆς γῆς καὶ παραβόλως διεκινδύνευον, ὑπὸ δὲ τοῦ Περσικοῦ στρατεύματος ἀνακοπέντες ἀπέπλευσαν εἰς Σηστόν. Ὁ γὰρ Φαρνάβαζος, βουλόμενος τοῖς Λακεδαιμονίοις ὑπὲρ ὧν ἀνεκάλουν ἀπολογεῖσθαι, βιαιότερον διηγωνίζετο πρὸς τοὺς Ἀθηναίους.» 1)

Ο ΑΛΚΙΒΙΑΔΗΣ ΣΥΛΛΗΦΘΕΙΣ ΥΠΟ ΤΟΥ ΤΙΣΣΑΦΕΡΝΟΥΣ ΑΠΟΔΙΔΡΑΣΚΕΙ. ΜΑΧΗ ΕΝ ΚΥΖΙΚΩ. (410). — «Ὁ Ἀλκιβιάδης οὕτω λαμπρᾷ χρησάμενος εὐτυχίᾳ καὶ φιλοτιμούμενος εὐθὺς ἐγκαλλωπίσασθαι τῷ Τισαφέρνῃ ξένια καὶ δῶρα παρασκευασάμενος καὶ θεραπείαν ἔχων ἡγεμονικὴν ἐπορεύετο πρὸς αὐτόν. Οὐ μὴν ἔτυχεν ὧν προσεδόκησεν, ἀλλὰ πάλαι κακῶς ἀκούων ὁ Τισαφέρνης ὑπὸ τῶν Λακεδαιμονίων καὶ φοβούμενος αἰτίαν λαβεῖν

(1) Διόδ. Σικελ. Βιβλ. 13. 45—46.

ἐκ βασιλέως, ἔδοξεν ἐν καιρῷ τὸν Ἀλκιβιάδην ἀφῖχθαι καὶ συλλαβὼν αὐτὸν εἶρξεν ἐν Σάρδεσιν ὡς λύσιν ἐκείνης τῆς διαβολῆς τὴν ἀδικίαν ταύτην ἐσομένην.

«Τριάκοντα δ' ἡμερῶν διαγενομένων ὁ Ἀλκιβιάδης ἵππου ποθὲν εὐπορήσας καὶ ἀποδρὰς τοὺς φύλακας εἰς Κλαζομενὰς διέφυγε. Καὶ τὸν μὲν Τισαφέρνην προσδιέβαλλεν ὡς ὑπ' ἐκείνου μεθειμένος, αὐτὸς δὲ πλεύσας εἰς τὸ στρατόπεδον τῶν Ἀθηναίων καὶ πυθόμενος Μίνδαρον ὁμοῦ καὶ Φαρνάβαζον ἐν Κυζίκῳ γεγονέναι, τοὺς μὲν στρατιώτας παρώρμησεν, ὡς ἀνάγκην οὖσαν αὐτοῖς καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν καὶ νὴ Δία τειχομαχεῖν πρὸς τοὺς πολεμίους· χρήματα γὰρ οὐκ εἶναι μὴ πάντα κρατοῦσι· πληρώσας δὲ τὰς ναῦς καὶ κατάρας εἰς Προικόννησον ἐκέλευσεν ἐντὸς περιβαλεῖν τὰ λεπτὰ πλοῖα, καὶ παραφυλάσσειν, ὅπως μηδεμία τοῖς πολεμίοις ἐπιπλέοντος αὐτοῦ γένοιτο μηδαμόθεν προαίσθησις. Ἔτυχε δὲ καὶ πολὺν ὄμβρον ἐξαίφνης ἐπιπεσόντα καὶ βροντὰς καὶ ζόφον συνεργῆσαι καὶ συνεπικρύψαι τὴν παρασκευήν. Οὐ γὰρ μόνον τοὺς πολεμίους ἔλαθεν, ἀλλὰ καὶ τοὺς Ἀθηναίους ἀπεγνωκότας ἤδη ἐμβῆναι κελεύσας ἀνήχθη. Καὶ μετὰ μικρὸν ὅ τε ζόφος διελύθη καὶ κατώφθησαν αἱ τῶν Πελοποννησίων νῆες αἰωρούμεναι πρὸ τοῦ λιμένος τῶν Κυζικηνῶν. Δείσας οὖν ὁ Ἀλκιβιάδης, μὴ διὰ τὸ πλῆθος αὐτῶν προϊδόντες εἰς τὴν γῆν καταφύγωσι, τοὺς μὲν στρατηγοὺς ἐκέλευσεν ἡσυχῇ πλέοντας ὑπολείπεσθαι, αὐτὸς δὲ τετταράκοντα ναῦς ἔχων ἐφαίνετο καὶ προὐκαλεῖτο τοὺς πολεμίους. Ἐπεὶ δὲ ἐξηπάτηντο καὶ καταφρονήσαντες ὡς ἐπὶ τοσαύτας ἀντεξήλασαν, αὐτοὶ μὲν εὐθὺς ἐξήπτοντο καὶ συνεπλέκοντο, τῶν δ' ἄλλων ἤδη μαχομένοις ἐπιφερομένων ἐκπλαγέντες ἔφευγον. Ὁ δ' Ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβὰς ἐνέκειτο τοῖς φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρε. Μινδάρου δὲ καὶ Φαρναβάζου προσβοηθούντων κρατήσας, τὸν μὲν Μίνδαρον ἀνεῖλεν ἐρρωμένως ἀγωνιζόμενον, ὁ δὲ Φαρνάβαζος ἔφυγε (410).» 1)

ΑΠΟΘΑΡΡΥΝΣΙΣ ΤΩΝ ΠΕΛΟΠΟΝΝΗΣΙΩΝ. — Ο ΦΑΡΝΑΒΑΖΟΣ ΑΝΑΖΩΟΓΟΝΕΙ ΤΟ ΘΑΡΡΟΣ ΑΥΤΩΝ. — «Οἱ Λακε-

(1) Πλουτ. Ἀλκιβ. 27—28.

δαιμόνιοι πολλῶν καὶ νεκρῶν καὶ ὅπλων κρατήσαντες τάς τε ναῦς ἁπάσας ἔλαβον, χειρωσάμενοι δὲ καὶ Κύζικον, ἐκλιπόντος τοῦ Φαρναβάζου καὶ τῶν Πελοποννησίων διαφθαρέντων, οὐ μόνον τὸν Ἑλλήσποντον εἶχον, ἀλλὰ καὶ τῆς ἄλλης θαλάσσης ἐξήλασαν κατὰ κράτος τοὺς Λακεδαιμονίους. Ἑάλω δὲ καὶ γράμματα λακωνικῶς φράζοντα τοῖς Ἐφόροις τὴν γεγενημένην ἀτυχίαν. «Ἥρρει τὰ κᾶλα. Μίνδαρος ἀπεσσούα· πεινῶντι τῶνδρες· ἀπορίομες, τί χρῆ δρᾶν.» 1)

Ὁ Πελοποννησιακὸς στρατὸς ἐν ἀπελπισίᾳ καὶ ἀποθαρρύνσει διετέλει, ἀλλ' ὁ σατράπης Φαρνάβαζος ὑπέδειξεν εἰς τοὺς συμμάχους αὐτοῦ ὅτι, ἐνόσῳ ὑπάρχουσιν ὁπλῖται, δὲν πρέπει νὰ ἐγκαταλείψωσι τὴν πόλιν, χάριν τῆς ἀπωλείας ὀλίγων νηῶν· καθόσον ἐν τοῖς κράτεσι τοῦ βασιλέως θὰ εὕρισκον μέσα πρὸς ναυπηγίαν ἑτέρων. Ἐνέδυσε λοιπὸν πάντας τοὺς στρατιώτας, δοὺς αὐτοῖς καὶ δύω μηνῶν μισθούς. Ἐπὶ πλέον ἐξώπλισε πάντας, εἰς οὓς ἐνέθετο τὴν φύλαξιν τῶν παρακτίων τῆς σατραπείας αὐτοῦ. Ἐπὶ τῇ προσκλήσει αὐτοῦ, οἱ στρατηγοὶ καὶ τριήραρχοι ἐπανῆλθον ἐκ τῶν πόλεων, εἰς ἃς εἶχον καταφύγει μετὰ τὴν ἐν Κυζίκῳ ἧτταν· κατεσκεύασεν ἰσαρίθμους τῶν ἀπωλεσθεισῶν νῆας, μετέφερεν ἐξ Ἴδης ξυλείαν καὶ ἐχορήγησεν σπουδαῖα χρηματικὰ ποσά. Τοῦ στόλου ναυπηγουμένου, οἱ Συρακούσιοι, συμμαχήσαντες τοῖς Πελοποννησίοις, συνέδραμον τοῖς Ἀντανδρίοις πρὸς ἀνέγερσιν μέρους τοῦ τείχους αὐτῶν, κερδήσαντες οὕτως οὐ μόνον τὴν συμπάθειαν τῶν Ἀντανδρίων, ἀλλὰ καὶ τὸ δικαίωμα τοῦ ἀστοῦ.

Ο ΑΛΚΙΒΙΑΔΗΣ ΕΞΑΣΦΑΛΙΖΕΙ ΤΗΝ ΚΥΡΙΑΡΧΙΑΝ ΤΩΝ ΑΘΗΝΑΙΩΝ. — ΑΛΩΣΙΣ ΤΗΣ ΧΑΛΚΗΔΟΝΟΣ, ΤΗΣ ΣΗΛΥΒΡΙΑΣ ΚΑΙ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ. — «Οὕτω δ' ἐπήρθησαν οἱ μετὰ τοῦ Ἀλκιβιάδου στρατευσάμενοι καὶ τοσοῦτον ἐφρόνησαν, ὥστ' ἀπαξιοῦν ἔτι τοὺς ἄλλους καταμιγνῦναι στρατιώταις ἑαυτοὺς πολλάκις ἡττημένοις ἀηττήτους ὄντας. Καὶ γὰρ οὐ πολλῷ πρότερον συνεβεβήκει παίσαντος περὶ Ἔφεσον τοῦ Θρασύλλου τὸ χαλκοῦν ἀνεστάναι τρόπαιον ὑπὸ τῶν Ἐφεσίων ἐπ' αἰσχύνῃ τῶν Ἀθηναίων. Ταῦτ' οὖν ὠνείδιζον οἱ μετὰ Ἀλκιβιάδου τοῖς μετὰ τοῦ Θρασύλλου,

(1) Πλουτ. Ἀλκιβ. 28.

μεγαλύνοντες αὐτοὺς καὶ τὸν στρατηγόν, ἐκείνους δὲ μήτε γυμνασίων μήτε χώρας ἐν στρατοπέδῳ κοινωνεῖν ἐθέλοντες. Ἐπεὶ δὲ Φαρνάβαζος ἱππέας τε πολλοὺς ἔχων καὶ πεζοὺς ἐπῆλθεν αὐτοῖς ἐμβεβληκόσιν εἰς τὴν Ἀβυδηνῶν, ὁ δ' Ἀλκιβιάδης ἐκβοηθήσας ἐπ' αὐτὸν ἐτρέψατο καὶ κατεδίωξεν ἄχρι σκότους μετὰ τοῦ Θρασύλλου καὶ ἀνεμίγνυντο καὶ κοινῇ φιλοφρονούμενοι καὶ χαίροντες ἐπανήεσαν εἰς τὸ στρατόπεδον. Τῇ δ' ὑστεραίᾳ στήσας τρόπαιον ἐλεηλάτει τὴν Φαρναβάζου χώραν, οὐδενὸς ἀμύνεσθαι τολμῶντος. Ἱερεῖς μέντοι καὶ ἱερεῖας ἔλαβε μὲν, ἀλλ' ἀφῆκεν ἄνευ λύτρων. Χαλκηδονίοις δ' ἀφεστῶσι καὶ δεδεγμένοις φρουρὰν καὶ ἁρμοστὴν Λακεδαιμονίων ὡρμημένος πολεμεῖν, ἀκούσας δ' ὅτι τὴν λείαν πᾶσαν ἐκ τῆς χώρας συναγαγόντες εἰς Βιθυνοὺς ἐκτίθενται φίλους ὄντας, ἦκεν ἐπὶ τοὺς ὅρους ἄγων τὸ στράτευμα καὶ κήρυκα προπέμψας ἐνεκάλει τοῖς Βιθυνοῖς. Οἱ δὲ δείσαντες τήν τε λείαν ἀπέδοσαν αὐτῷ καὶ φιλίαν ὡμολόγησαν.

«Ἀποτειχιζομένης δὲ τῆς Χαλκηδόνος ἐκ θαλάττης εἰς θάλασσαν ὁ Φαρνάβαζος ἦκεν ὡς λύσων τὴν πολιορκίαν· καὶ Ἱπποκράτης ὁ ἁρμοστὴς ἐκ τῆς πόλεως ἐξαγαγὼν τὴν σὺν αὐτῷ δύναμιν ἐπεχείρει τοῖς Ἀθηναίοις. Ὁ δὲ Ἀλκιβιάδης ἅμα πρὸς ἀμφοτέρους ἀντιτάξας τὸ στράτευμα τὸν μὲν Φαρνάβαζον αἰσχρῶς φεύγειν ἠνάγκασε, τὸν δὲ Ἱπποκράτην διέφθειρε καὶ συχνοὺς τῶν περὶ αὐτὸν ἡττηθέντας. Εἶτ' αὐτὸς μὲν ἐκπλεύσας εἰς τὸν Ἑλλήσποντον ἠργυρολόγει καὶ Σηλυβρίαν εἶχεν, ἀφειδήσας ἑαυτοῦ παρὰ τὸν καιρόν. Οἱ γὰρ ἐνδιδόντες τὴν πόλιν συνέθεντο μὲν ἀνασχήσειν πυρσὸν αὐτῷ μεσούσης νυκτός, ἠναγκάσθησαν δὲ τοῦτο ποιῆσαι πρὸ τοῦ κειροῦ τῶν συνωμοτῶν τινα φοβηθέντες ἐξαίφνης μεταβαλόμενον. Ἀρθέντος οὖν τοῦ πυρσοῦ, μηδέπω τῆς στρατιᾶς οὔσης ἑτοίμης, ἀναλαβὼν ὅσον τριάκοντα περὶ αὐτὸν ἐπείγετο δρόμῳ πρὸς τὰ τείχη, τοὺς ἄλλους ἕπεσθαι κατὰ τάχος κελεύσας. Ἀνοιχθείσης δὲ τῆς πύλης αὐτῷ καὶ προσγενομένων τοῖς τριάκοντα πελταστῶν εἴκοσι παρεισπεσὼν εὐθὺς ἤσθετο τοὺς Σηλυβριανοὺς ἐξ ἐναντίας μετὰ τῶν ὅπλων ἐπιφερομένους. Ἐπεὶ δὲ ὑποστάντι μὲν οὐκ ἐφαίνετο σωτηρία, πρὸς δὲ τὸ φυγεῖν ἀήττητος ἄχρι τῆς ἡμέρας ἐκείνης ἐν ταῖς στρατηγίαις γεγονὼς φιλογεικότερον εἶχε, τῇ σάλπιγγι σημή-

νας σιωπὴν ἐκέλευσεν ἕνα τῶν παρόντων ἀνειπεῖν Σηλυβριανοῖς Ἀθηναίους ἐναντία ὅπλα μὴ τίθεσθαι· τοῦτο τὸ κήρυγμα τοὺς μὲν ἀμβλυτέρους ἐποίησε πρὸς τὴν μάχην, ὡς τῶν πολεμίων ἔνδον ὄντων ἁπάντων, οἱ δὲ ταῖς ἐλπίσιν ἡδίους ἐγένοντο πρὸς τὰς διαλύσεις. Ἐν ᾧ δὲ συστάντες ἀλλήλοις ἐδίδοσαν λόγον, ἐπῆλθεν ἡ στρατιὰ τῷ Ἀλκιβιάδῃ, καὶ τεκμαιρόμενος, ὅπερ ἦν, εἰρηνικὰ φρονεῖν τοὺς Σηλυβριανούς, ἔδεισε μὴ τὴν πόλιν οἱ Θρᾷκες διαρπάσωσιν. Ἦσαν δὲ πολλοί, χάριτι τοῦ Ἀλκιβιάδου καὶ δι' εὔνοιαν στρατευόμενοι προθύμως. Ἀπέπεμψεν οὖν τούτους ἅπαντας ἐκ τῆς πόλεως, τοὺς δὲ Σηλυβριανοὺς δεηθέντας οὐδὲν ἠδίκησεν, ἀλλὰ χρήματα λαβὼν καὶ φρουρὰν ἐγκαταστήσας ἀπῆλθεν.

« Οἱ δὲ πολιορκοῦντες τὴν Χαλκηδόνα στρατηγοὶ σπονδὰς ἐποιήσαντο πρὸς Φαρνάβαζον ἐπὶ τῷ χρήματα λαβεῖν καὶ Λακεδαιμονίους ὑπηκόους πάλιν Ἀθηναίοις εἶναι, τὴν δὲ Φαρναβάζου χώραν μὴ ἀδικεῖν, Φαρνάβαζον δὲ πρέσβεσιν Ἀθηναίων πρὸς βασιλέα πομπὴν μετ' ἀσφαλείας παρασχεῖν. Ὡς οὖν ἐπανελθόντα τὸν Ἀλκιβιάδην ὁ Φαρνάβαζος ἠξίου καὶ αὐτὸν ὀμόσαι περὶ τῶν ὡμολογημένων, οὐκ ἔφη πρότερον ἢ ἐκεῖνον αὐτοῖς ὀμόσει.

«Γενομένων δὲ τῶν ὅρκων ἐπὶ Βυζαντίους ἀφεστῶτας ἦλθε καὶ περιετείχιζε τὴν πόλιν. Ἀναξιλάου δὲ καὶ Λυκούργου καί τινων ἄλλων συνθεμένων ἐπὶ σωτηρίᾳ παραδώσειν τὴν πόλιν, διαδοὺς λόγον, ὡς ἀνίστησιν αὐτοὺς πράγματα νεώτερα συνιστάμενα περὶ τὴν Ἰωνίαν ἡμέρας ἀπέπλει ταῖς ναυσὶ πάσαις, νυκτὸς δ' ὑποστρέψας αὐτὸς μὲν ἀπέβη μετὰ τῶν ὁπλιτῶν καὶ προσελθὼν τοῖς τείχεσιν ἡσυχίαν ἦγεν, αἱ δὲ νῆες ἐπὶ τὸν λιμένα πλεύσασαι καὶ βιαζόμεναι κραυγῇ τε πολλῇ καὶ θορύβοις καὶ ψόφοις ἅμα μὲν ἐξέπληττον τῷ ἀπροσδοκήτῳ τοὺς Βυζαντίους, ἅμα δὲ τοῖς ἀττικίζουσι παρεῖχον ἐπ' ἀδείας τὸν Ἀλκιβιάδην δέχεσθαι, πάντων ἐπὶ τὸν λιμένα καὶ τὰς ναῦς βοηθούντων. Οὐ μὴν ἀμαχεὶ προσεχώρησαν· οἱ γὰρ παρόντες ἐν τῷ Βυζαντίῳ Πελοποννήσιοι καὶ Βοιωτοὶ καὶ Μεγαρεῖς τοὺς μὲν ἀπὸ τῶν νηῶν ἐτρέψαντο καὶ καθεῖρξαν εἰς τὰς ναῦς πάλιν, τοὺς δ' Ἀθηναίους ἔνδον ὄντας αἰσθόμενος καὶ συντάξαντες ἑαυτοὺς ἐχώρουν ὀμόσαι. Καρτερᾶς δὲ μάχης γενομένης ἐνίκησεν Ἀλκιβιάδης τὸ δεξιὸν κέρας ἔχων, θηραμένης δὲ τὸ εὐώνυμον, καὶ

τῶν πολεμίων τοὺς περιγενομένους ὅσον τριακοσίους ζῶντας ἔλαβε· (409). Βυζαντίων δὲ μετὰ τὴν μάχην οὐδεὶς ἀπέθανεν οὐδ' ἔφυγεν· ἐπὶ τούτοις γὰρ οἱ ἄνδρες παρέδοσαν τὴν πόλιν καὶ ταῦτα συνέθεντο, μηδὲν αὐτοῖς ἴδιον ὑπεξελόμενοι. Διὸ καὶ δίκην προδοσίας ἐν Λακεδαίμονι φεύγων ὁ Ἀναξίλαος ἐφάνη τῷ λόγῳ τὸ ἔργον οὐκ αἰσχύνων. Ἔφη γὰρ οὐκ ὢν Λακεδαιμόνιος, ἀλλὰ Βυζάντιος, οὐδὲ τὴν Σπάρτην κινδυνεύουσαν, ἀλλὰ τὸ Βυζάντιον ὁρῶν τῆς μὲν πόλεως ἀποτετειχισμένης, μηδενὸς δ' εἰσαγομένου, τὸν δ' ὄντα σῖτον ἐν τῇ πόλει Πελοποννησίων καὶ Βοιωτῶν ἐσθιόντων, Βυζαντίων δὲ πεινόντων σὺν τέκνοις καὶ γυναιξίν, οὐ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ πολέμων καὶ κακῶν ἀπαλλάξαι τὴν πόλιν, μιμούμενος τοὺς ἀρίστους Λακεδαιμονίων, οἷς ἓν καλὸν ἁπλῶς καὶ δίκαιόν ἐστι τὸ τῆς πατρίδος συμφέρον. Οἱ μὲν οὖν Λακεδαιμόνιοι ταῦτ' ἀκούσαντες ἠδέσθησαν καὶ ἀπέλυσαν τοὺς ἄνδρας.» 1)

ΚΥΡΟΣ Ο ΝΕΩΤΕΡΟΣ ΔΙΟΡΙΖΕΤΑΙ ΑΝΤΙΒΑΣΙΛΕΥΣ ΤΩΝ ΝΑΥΤΙΚΩΝ ΕΠΑΡΧΙΩΝ. — ΑΘΗΝΑΪΚΗ ΠΡΕΣΒΕΙΑ ΠΡΟΣ ΤΟΝ ΜΕΓΑΝ ΒΑΣΙΛΕΑ. (408). — Συνῳδὰ τῇ ἐν Χαλκηδόνι συνθήκῃ, ὁ Φαρνάβαζος ὡδήγησεν εἰς Περσίαν τὴν παρὰ τῷ μεγάλῳ βασιλεῖ ὑπὸ τῶν Ἀθηναίων ἀποσταλεῖσαν πρεσβείαν. Καθ' ὁδὸν συνήντησε τοὺς Λακεδαιμονίους πρεσβευτὰς ἐπανακάμπτοντας ἐκ Περσίας, οἵτινες ἐξέθηκαν ὅτι ἐπέτυχον παρὰ τοῦ βασιλέως ὅ,τι ἠτήσαντο, ὅτι ὁ Κῦρος διωρίσθη τύραννος ἁπασῶν τῶν ναυτικῶν ἐπαρχιῶν, ἐπιφορτισθεὶς τὴν παροχὴν βοηθείας τοῖς Λακεδαιμονίοις καὶ φέρων γράμματα τοῦ βασιλέως πρὸς πάντας τοὺς κατοίκους τῆς Μικρᾶς Ἀσίας, ἀναφέροντα ὅτι ὁ Κῦρος ἀποστέλλεται εἰς τὴν Κάτω Ἀσίαν ὅπως διατελῇ κοίρανος τοῦ ἐν Καστωλῷ συνειλεγμένου στρατοῦ. Ἡ ἄφιξις τοῦ Κύρου ἐπεβεβαίωσε μετ' οὐ πολὺ τὴν εἴδησιν ταύτην. Οἱ Ἀθηναῖοι δὲν προὐτίθεντο ν' ἀφήσωσιν αὐτὸν ἥσυχον πρὸς ἐπιτυχίαν τῆς ἀποστολῆς αὐτοῦ, ὅστις τὰ τῶν Σπαρτιατῶν φρονῶν διέταξεν εἰς τὸν Φαρνάβαζον νὰ παραδώσῃ αὐτῷ τοὺς Ἀθηναίους πρεσβευτὰς ἢ νὰ ἐμποδίσῃ τὴν εἰς τὴν πατρίδα αὐτῶν ἐπάνοδον. Ὁ Φαρνάβαζος, ἠναγκασμένος νὰ περιποιηθῇ τὸν βασιλόπαιδα, ἐκρά-

(1) Πλουτάρ. Ἀλκιβιάδης 29—32.

τησεν αὐτοὺς ἐπὶ τρία ἔτη, μετὰ παρέλευσιν τῶν ὁποίων, ἀπέστειλεν αὐτοὺς πρὸς τὸν Ἀριοβάρναζον διατάξας αὐτὸν νὰ συνοδεύσῃ αὐτοὺς μέχρι Χίου. Ὁ νεώτερος Κῦρος, τὰ τῶν Πελοποννησίων φρονῶν, ἦν δεύτερος υἱὸς Δαρείου τοῦ Νόθου, διαμένων ἐν Σάρδεσι καὶ ὃν μετ' ὀλίγον θέλομεν ἴδει ἀναφαινόμενον μετὰ δόξης ἐν τῇ ἱστορίᾳ τῆς Μικρᾶς Ἀσίας.

ΕΠΑΝΟΔΟΣ ΤΟΥ ΑΛΚΙΒΙΑΔΟΥ ΕΙΣ ΑΘΗΝΑΣ (408). — Μετὰ τὰς ἐν Προποντίδι νίκας, ὁ στόλος τῶν Ἀθηναίων διῃρέθη εἰς δύο μοίρας, τῆς μὲν ὑπὸ τὸν Θρασύβουλον ἐκπλευσάσης πρὸς τὰς ἀκτὰς τῆς Θράκης, τῆς δὲ ὑπὸ τὸν Ἀλκιβιάδην ἐκπλευσάσης εἰς Σάμον καὶ μεταβάσης ὅπως φορολογήσῃ τὴν Καρίαν, δοῦσαν ἑκατὸν τάλαντα. «Ἐν τῇ ἐπιστροφῇ ταύτῃ τῆς εὐδαιμονίας, λέγει ὁ Duruy 1), δὲν συνετέλεσεν ὅλως ὁ Ἀλκιβιάδης, ὡς φρονεῖ ὁ Πλούταρχος, βιογραφῶν τὸν ἥρωα αὐτοῦ. Ἀλλὰ παρὰ τῷ ἐξόχῳ τούτῳ στρατηγῷ ἡ ἱστορία παρουσιάζει τοὺς ἐπιτηδείους συναδέλφους αὐτοῦ, ἰδίᾳ τὸν Θρασύβουλον, τὸν νικητὴν τῆς Σηστοῦ, καὶ ὄπισθι αὐτῶν τὸν δῆμον τῶν Ἀθηνῶν, ὅστις, μεθ' ὅλην τὴν ἐξάντλησιν καὶ τὰς διαιρέσεις αὐτοῦ, ἐχορήγησεν αὐτῷ πάντα τὰ μέσα τοῦ θριάμβου αὐτοῦ κατά τε συμπάσης τῆς Ἑλλάδος καὶ τῆς Περσίας, συνασπισθεισῶν ἀμφοτέρων κατ' αὐτοῦ.

«Ὁπόσαι περιφανεῖς ἐκδουλεύσεις τοῦ φιλοδόξου τούτου δὲν κατώρθωσαν νὰ παραγνωρισθῇ ἡ γενναία εὐστάθεια τοῦ ἡρωϊκοῦ τούτου λαοῦ! Ἐντοσούτῳ οἱ Ἀθηναῖοι ἔπραξαν ἤδη ὅ,τι βραδύτερον θὰ πράξῃ ὁ ἱστορικὸς αὐτῶν διὰ τὸν Ἀλκιβιάδην. Ἐπιλαθόντες τῶν προδοσιῶν αὐτοῦ ἐτίμησαν αὐτὸν ἐξόχως ἐπὶ ταῖς τελευταίαις νίκαις αὐτοῦ, ὅστις ἀνηγορεύθη στρατηγὸς οἱ δὲ φίλοι του ἔσπευσαν νὰ συντελέσωσιν ὑπὲρ τοῦ θριάμβου του.»

«Ὁ δὲ Ἀλκιβιάδης ἰδεῖν τε ποθῶν ἤδη τὰ οἴκοι καὶ ἔτι μᾶλλον ὀφθῆναι βουλόμενος τοῖς πολίταις νενικηκὼς τοὺς πολεμίους τοσαυτάκις, ἀνήχθη, πολλαῖς μὲν ἀσπίσι καὶ λαφύροις κύκλῳ κεκοσμημένων τῶν Ἀττικῶν τριήρεων, πολλοὺς δ' ἑφελκόμενος αἰχμαλώτους, ἔτι δὲ πλείω νομίζων ἀκροστόλια τῶν διεφθαρμένων ὑπ

(1) Histoire Grecque, 384.

αὐτοῦ καὶ κεκρατημένων. Ἦσαν γὰρ οὐκ ἐλάττους συναμφότεραι διακοσίων.

« Ἐπεὶ δ' ἀπέβη, τοὺς μὲν ἄλλους στρατηγοὺς οὐθ' ὁρᾶν ἐδόκουν ἀπαντῶντες οἱ ἄνθρωποι, πρὸς δ' ἐκεῖνον συντρέχοντες ἐβόων, ἠσπάζοντο, παρέπεμπον, ἐστεφάνουν προσιόντες, οἱ δὲ μὴ δυνάμενοι προσελθεῖν ἄπωθεν ἐθεῶντο καὶ τοῖς νέοις ἐδείκνυσαν οἱ πρεσβύτεροι. Πολὺ δὲ καὶ δάκρυον τῷ χαίροντι τῆς πόλεως ἀνεκέκραστο καὶ μνήμη πρὸς τὴν παροῦσαν εὐτυχίαν τῶν πρόσθεν ἀτυχημάτων λογιζομένοις, ὡς οὔτ' ἂν Σικελίας διήμαρτον οὔτ' ἄλλο τι τῶν προσδοκηθέντων ἐξέφυγεν αὐτοὺς ἐάσαντας Ἀλκιβιάδην ἐπὶ τῶν τότε πραγμάτων καὶ τῆς δυνάμεως ἐκείνης, εἰ νῦν τὴν πόλιν παραλαβὼν ὀλίγου δέουσαν ἐκπεπτωκέναι τῆς θαλάττης, κατὰ γῆν δὲ μόλις τῶν προαστείων κρατοῦσαν, αὐτὴν δὲ πρὸς ἑαυτὴν στασιάζουσαν, ἐκ λυπρῶν ἔτι λειψάνων καὶ ταπεινῶν ἀναστήσας οὐ μόνον γε τῆς θαλάττης τὸ κράτος ἀποδέδωκεν, ἀλλὰ καὶ πεζῇ νικῶσαν ἀποδείκνυσι πανταχοῦ τοὺς πολεμίους.

« Τότε δὲ τοῦ δήμου συνελθόντος εἰς τὴν ἐκκλησίαν, παρελθὼν ὁ Ἀλκιβιάδης, καὶ τὰ μὲν αὐτοῦ πάθη κλαύσας καὶ ὀλοφυρόμενος, ἐγκαλέσας δὲ μικρὰ καὶ μέτρια τῷ δήμῳ, τὸ δὲ σύμπαν ἀναθεὶς αὐτοῦ τινι τύχῃ πονηρᾷ καὶ φθονερῷ δαίμονι, πλεῖστα δ' εἰς ἐλπίδας τῶν πολεμίων καὶ πρὸς τὸ θαρρεῖν διαλεχθεὶς καὶ παρορμήσας, στεφάνοις μὲν ἐστεφανώθη χρυσοῖς, ἠρέθη δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ στρατηγός. Ἐψηφίσαντο δὲ τὴν οὐσίαν ἀποδοῦναι αὐτῷ καὶ τὰς ἀρὰς ἀφοσιώσασθαι πάλιν Εὐμολπίδας καὶ Κήρυκας, ἃς ἐποιήσαντο τοῦ δήμου προστάξαντος. Ἀφοσιουμένων δὲ τῶν ἄλλων Θεόδωρος ὁ Ἱεροφάντης «Ἀλλ' ἐγὼ» εἶπεν «οὐδὲ κατηρασάμην αὐτῷ κακὸν οὐδέν, εἰ μηδὲν ἀδικεῖ τὴν πόλιν.» (1)

ΝΕΑ ΕΚΣΤΡΑΤΕΙΑ ΤΟΥ ΑΛΚΙΒΙΑΔΟΥ ΕΠΙ ΤΩΝ ΑΚΤΩΝ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ. (407). — Ὁ Ἀλκιβιάδης δὲν παρέμεινεν ἐπὶ πολὺν καιρὸν ἐν Ἀθήναις.

« Ἐκπλεύσας δὲ ταῖς ἑκατὸν ναυσὶ καὶ προσβαλὼν Ἄνδρῳ, μά-

(1) Πλουτ. Ἀλκιβιάδης, 32 καὶ 33.

χῃ μὲν ἐκράτησεν αὐτῶν καὶ Λακεδαιμονίων ὅσοι παρῆσαν, οὐχ εἷλε δὲ τὴν πόλιν, ἀλλὰ τοῦτο τῶν κοινῶν ἐγκλημάτων πρῶτον ὑπῆρξε κατ᾽ αὐτοῦ τοῖς ἐχθροῖς. Ἔοικε δ᾽, εἴτις ἄλλος ὑπὸ τῆς αὐτοῦ δόξης καταλυθῆναι καὶ Ἀλκιβιάδης.

« Μεγάλη γὰρ οὖσα καὶ τόλμης καὶ συνέσεως γέμουσα ἀφ᾽ ὧν κατώρθωσεν, ὕποπτον αὐτοῦ τὸ ἐλλεῖπον, ὡς οὐ σπουδάσαντος, ἀπιστίᾳ τοῦ μὴ δυνηθῆναι παρεῖχε· σπουδάσαντα γὰρ οὐδὲν ἂν διαφυγεῖν. Ἤλπιζον δὲ καὶ Χίους ἑαλωκότας ἀκούσεσθαι καὶ τὴν ἄλλην Ἰωνίαν. Ὅθεν ἠγανάκτουν μὴ ταχὺ πάντα μήδ᾽ εὐθέως, ὡς ἐβούλοντο, πυνθανόμενοι διαπεπραγμένον, οὐχ ὑπολογιζόμενοι τὴν ἀχρηματίαν, ἀφ᾽ ἧς πολεμῶν πρὸς ἀνθρώπους βασιλέα μέγαν χορηγὸν ἔχοντας ἠναγκάζετο πολλάκις ἐκπλέων καὶ ἀπολείπων τὸ στρατόπεδον μισθοὺς καὶ τροφὰς πορίζειν. Καὶ γὰρ τὸ τελευταῖον ἔγκλημα διὰ ταύτην ἔλαβε τὴν αἰτίαν. Λυσάνδρου γὰρ ἐπὶ τὴν ναυαρχίαν ἀποσταλέντος ὑπὸ Λακεδαιμονίων καὶ τετρώβολον ἀντὶ τριωβόλου τῷ ναύτῃ διδόντος ἐξ ὧν ἔλαβε παρὰ Κύρου χρημάτων, αὐτὸς ἤδη γλίσχρως χορηγῶν καὶ τὸ τριώβολον ἀπῆρεν ἀργυρολογήσων ἐπὶ Καρίας. Ὁ δ᾽ ἀπολειφθεὶς ἐπὶ τῶν νεῶν ἐπιμελητὴς Ἀντίοχος ἀγαθὸς μὲν ἦν κυβερνήτης, ἀνόητος δὲ τἆλλα καὶ φορτικός· ἔχων δὲ πρόσταγμα παρὰ τοῦ Ἀλκιβιάδου μηδ᾽ ἂν ἐπιπλέωσιν οἱ πολέμιοι διαναυμαχεῖν, οὕτως ἐξύβρισε καὶ κατεφρόνησεν ὥστε τὴν αὑτοῦ πληρωσάμενος τριήρη καὶ τῶν ἄλλων μίαν ἐπιπλεῦσαι τῇ Ἐφέσῳ καὶ παρὰ τὰς πρῴρας τῶν πολεμίων νεῶν πολλὰ καὶ πράττων καὶ φθεγγόμενος ἀκόλαστα καὶ βωμολόχα παρεξελαύνειν. Τὸ μὲν οὖν πρῶτον Λύσανδρος ὀλίγαις ναυσὶν ἐπαναχθεὶς ἐδίωκεν αὐτόν, τῶν δ᾽ Ἀθηναίων ἐπιβοηθούντων πάσαις ἀναχθεὶς καὶ κρατήσας αὐτόν τε διέφθειρε τὸν Ἀντίοχον καὶ ναῦς ἔλαβε πολλὰς καὶ ἀνθρώπους καὶ τρόπαιον ἔστησεν. Ὡς δὲ ταῦτ᾽ ἤκουσεν ὁ Ἀλκιβιάδης ἐπανελθὼν εἰς Σάμον, ἀνήχθη παντὶ τῷ στόλῳ καὶ προὐκαλεῖτο τὸν Λύσανδρον. Ὁ δ᾽ ἠγάπα νενικηκὼς καὶ οὐκ ἀντανήγετο.

«Τῶν δὲ μισούντων τὸν Ἀλκιβιάδην ἐν τῷ στρατοπέδῳ, Θρασύβουλος ὁ Θράσωνος ἐχθρὸς ὢν ἀπῆρεν εἰς Ἀθήνας κατηγορήσων. Καὶ τοὺς ἐκεῖ παροξύνας ἔλεγε πρὸς τὸν δῆμον, ὡς Ἀλκι-

βιάδης διέφθαρκε τὰ πράγματα καὶ τὰς ναῦς ἀπολώλεκεν ἐντρυφῶν τῇ ἀρχῇ καὶ παραδιδοὺς τὴν στρατηγίαν ἀνθρώποις ἐκ πότων καὶ ναυτικῆς σπερμολογίας δυναμένοις παρ᾽ αὐτῷ μέγιστον, ὅπως αὐτὸς ἐπ᾽ ἀδείας χρηματίζηται περιπλέων καὶ ἀκολεσταίνῃ μεθυσκόμενος καὶ συνὼν ἑταίραις Ἀβυδηναῖς καὶ Ἰωνίσιν ἐφορμούντων δι᾽ ὀλίγου τῶν πολεμίων. Ἐνεκάλουν δ᾽ αὐτῷ καὶ τὴν τῶν τειχῶν κατασκευὴν, ἃ κατεσκεύασεν ἐν Θράκῃ περὶ Βισάνθην αὐτῷ καταφυγὴν ὡς ἐν τῇ πατρίδι μὴ δυνάμενος βιοῦν ἢ μὴ βουλόμενος. Οἱ δ᾽ Ἀθηναῖοι πεισθέντες ἑτέρους εἵλοντο στρατηγοὺς, ἐνδεικνύμενοι τὴν πρὸς ἐκεῖνον ὀργὴν καὶ κακόνοιαν. Ἃ δὴ πυνθανόμενος ὁ Ἀλκιβιάδης καὶ δεδοικὼς ἀπῆλθεν ἐκ τοῦ στρατοπέδου παντάπασι, καὶ συναγαγὼν ξένους ἐπολέμει τοῖς ἀβασιλεύτοις Θραξὶν ἰδίᾳ, καὶ πολλὰ χρήματα συνήγαγεν ἀπὸ τῶν ἁλισκομένων, καὶ τοῖς Ἕλλησιν ἅμα τοῖς προσοικοῦσιν ἄδειαν ἀπὸ τῶν βαρβάρων παρεῖχεν.» 1)

ΛΥΣΑΝΔΡΟΣ.—ΡΑΔΙΟΥΡΓΙΑΙ ΑΥΤΟΥ ΠΑΡΑ ΤΩ ΝΕΩΤΕΡΩ ΚΥΡΩ.—Ἐν ᾧ χρόνῳ οἱ Ἀθηναῖοι ἐστεροῦντο τοῦ ἀρίστου τῶν στρατηγῶν αὐτῶν, ἡ Σπάρτη εἶχεν ἐπὶ κεφαλῆς τοῦ στρατοῦ αὐτῆς ἄνδρα, ὅστις «ἐδόκει εἶναι πανοῦργος καὶ σοφιστὴς, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου, τῶν δὲ ἀξιούντων μετὰ στόλου ἐκέλευεν «ὅπου γὰρ ἡ λεοντῆ μὴ ἀφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν».

Ὁ Λύσανδρος μετέβη παρὰ τῷ Κύρῳ εἰς Σάρδεις, συνοδευόμενος ὑπὸ τῶν Λακεδαιμονίων πρεσβευτῶν, οἵτινες, ἀφοῦ ἐξέθεσαν τῷ σατράπῃ τὰ ἀδικήματα τοῦ Τισσαφέρνους, ἐπεκαλέσθησαν τὴν συνδρομὴν αὐτοῦ. Ὁ Κῦρος ἀπήντησεν ὅτι εἶχε μὲν διαταγὰς τοῦ βασιλέως ἐπὶ τοῦ ἀντικειμένου τούτου, ἀλλὰ καὶ αὐτὸς οὗτος δὲν εἶχεν ἐναντίας προθέσεις, ὑποσχεθεὶς ὅτι οὐδενὸς ὀλιγωρήσει πρὸς ἐπιτυχίαν, προσέθεσε δ᾽ ὅτι θὰ προσέλθῃ μετὰ 500 ταλάντων, καὶ ὅτι, τούτων ἐξοδευομένων, δὲν θὰ λείψῃ νὰ καταβάλῃ καὶ ἐκ τοῦ ἰδιαιτέρου ταμείου, ἐν ἀνάγκῃ δὲ θέλει κατακερματίσῃ τὸν ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένον θρόνον του.

Οἱ Λακεδαιμόνιοι, ἐπαινέσαντες τὸν ζῆλον καὶ τὴν γενναιότητα

(1) Πλουτ. Ἀλκιβιάδης 35 καὶ 36.

αὐτοῦ, παρεκάλεσαν αὐτὸν νὰ χορηγήσῃ εἰς ἕκαστον ναύτην ἀνὰ μίαν ἀττικὴν δραχμὴν, ὑποδείξαντες ὅτι διὰ τοῦ μισθοῦ τούτου θὰ κατώρθου ὅπως οἱ Ἀθηναῖοι ναῦται ἐγκαταλείψωσι τὰ πλοῖα αὐτῶν, ὁ δὲ Κῦρος ἀπήντησεν αὐτοῖς «ἔχετε δίκαιον, ἀλλὰ μοὶ εἶναι ἀδύνατον νὰ παρεκκλίνω τῶν διαταγῶν τοῦ βασιλέως. Κατὰ τὴν συνθήκην τριάκοντα μναῖ χορηγηθήσονται δι' ἕκαστον πλοῖον τῶν Λακεδαιμονίων.»

Ὁ Λύσανδρος ἐσίγησεν, ἀλλὰ πρὸς τὸ τέλος τοῦ γεύματος προπίνων ἀπήτησε παρὰ τοῦ Λυσάνδρου ὅπως ζητήσῃ ὅ,τι ἂν ἤθελε· «Παρακαλῶ εἶπεν ὁ Σπαρτιάτης ὅπως αὐξήσητε τὸν μισθὸν ἑκάστου ναύτου κατὰ ἕνα ὀβολὸν καθεκάστην.» Ὁ Κῦρος ἀμέσως ἀπὸ τριωβόλου ὡρίσατο τετράβολον τὴν μισθοδοσίαν τοῦ στρατιώτου, πληρώσας πάντα τὰ καθυστεροῦντα, καὶ ἑνὸς μηνὸς μισθοδοσίαν προκαταβολικῶς, τοῦθ' ὅπερ ἀνέφλεξε τὸν ζῆλον τῶν στρατιωτῶν. Ἐπὶ τῇ εἰδήσει ταύτῃ οἱ Ἀθηναῖοι ἀνησυχοῦντες ἐξέπεμψαν διὰ τοῦ Τισσαφέρνους πρεσβείαν παρὰ τῷ Κύρῳ, ὅστις μεθ' ὅλας τὰς παρακλήσεις τοῦ σατράπου ἠρνήθη νὰ δεχθῇ αὐτήν. Ὁ Τισσαφέρνης μάτην προέβαλεν αὐτῷ τὰς συμβουλὰς τοῦ Ἀλκιβιάδου καὶ τὴν ἀνάγκην ὅπως μὴ λάβῃ μέρος ὑπὲρ οὐδενὸς λαοῦ τῆς Ἑλλάδος, ἥτις ἐξησθένει ἕνεκα τῶν ἀλληλομαχιῶν. Ὁ Κῦρος δὲν ἠθέλησε νὰ ἀκούσῃ οὐδὲν τούτων.

Ο ΚΑΛΛΙΚΡΑΤΙΔΑΣ ΑΝΤΙΚΑΘΙΣΤΗΣΙ ΤΟΝ ΛΥΣΑΝΔΡΟΝ (406).—Ὁ Λύσανδρος καταθέσας ἐν τῷ τέλει τοῦ ἔτους τὴν ἀρχηγίαν ἀντικατέστη ὑπὸ τοῦ Καλλικρατίδα, ὅστις διωργάνωσεν ἐν ταῖς πόλεσι τῆς Ἰωνίας φατρίαν ὀνειροπολοῦσαν τὴν ἀνίδρυσιν τῶν ἀρχαίων τυράννων, προβλέπων ὅτι ἡ ὀλιγαρχία αὕτη θὰ εἶχεν ἀνάγκην ἐξωτερικοῦ στηρίγματος καὶ φρονῶν ὅτι ἡ Σπάρτη ἤθελεν ἐπιφορτίσει αὐτὸν νὰ ὑποστηρίξῃ ὅ,τι οὗτος συνέστησε.

Ο ΛΥΣΑΝΔΡΟΣ ΕΠΙΣΤΡΕΦΕΙ ΕΙΣ ΣΠΑΡΤΗΝ. ΠΡΟΔΙΔΕΤΑΙ ΑΚΟΥΣΙΩΣ.—Κατὰ τὴν εἰς τὴν πατρίδα ἐπάνοδόν του, ὁ Λύσανδρος ὅστις, κατὰ τὴν διάρκειαν τῆς ἀρχηγίας του, πολλὰς ὠμότητας καὶ γλισχρότητας διεπράξατο καὶ ὅστις ἐγίνωσκεν ὅτι οἱ συμπατριῶται αὐτοῦ εἶχον γνῶσιν αὐτῶν, παρεκάλεσε τὸν Φαρνάβαζον νὰ τῷ ἐπιδώσῃ ἐπιστολὴν δικαιολογητικὴν πρὸς τοὺς ἐφό-

ρους, πληροφορῶν αὐτοῖς μετὰ πόσης ἀφιλοκερδείας ἐνήργησε τὸν πόλεμον καὶ μετὰ πόσης ἐπιεικείας προσεφέρθη πρὸς τοὺς συμμάχους, φρονῶν ὅτι αἱ λεπτομέρειαι αὗται ἤθελον χρησιμεύσει αὐτῷ ὡς σπουδαία μαρτυρία. Ὁ Φαρνάβαζος ὑποσχεθεὶς αὐτῷ συνέταξε μακρὰν ἐπιστολὴν πολλοὺς περὶ αὐτοῦ ἐπαίνους ἀναγράφας, ἀκολούθως ἐπέδειξεν αὐτὴν τῷ Λυσάνδρῳ, ὅστις ἔμεινε λίαν εὐχαριστημένος, ἀλλὰ, καθ' ἣν στιγμὴν ἐπρόκειτο νὰ κλείσῃ αὐτήν, τὴν ἀντικατέστησε δι' ἑτέρας ἰσομεγέθους τῆς πρώτης, ἐν ᾗ ἀκριβῶς ἐξέθετε τὰς παρανόμους φορολογίας καὶ ἀπιστίας τοῦ Λυσάνδρου· ἀφικόμενος εἰς Λακεδαίμονα ὁ Λύσανδρος παρέστη ἐνώπιον τοῦ πρώτου ἐφόρου, ἐκθέσας τὰς πράξεις αὐτοῦ καὶ πρὸς ἐπιμαρτυρίαν ἐπιδώσας τὴν ἐπιστολὴν τοῦ Φαρναβάζου. Οἱ ἔφοροι ἀναγνώσαντες αὐτὴν προσεκάλεσαν τὸν Λύσανδρον πρὸς ὃν ἐπέδωκαν τὴν ἐπιστολὴν πρὸς ἀνάγνωσιν. Ὁ Λύσανδρος κατεπροδόθη ἐν ἀγνοίᾳ του 1).

ΕΚΣΤΡΑΤΕΙΑ ΤΟΥ ΚΑΛΛΙΚΡΑΤΙΔΑ. — Ὁ Καλλικρατίδας, ἀφοῦ ἔλαβε τὸν στόλον ἀπὸ τὸν Λύσανδρον καὶ ἐνίσχυσεν αὐτὸν διὰ πεντήκοντα νηῶν, χορηγηθεισῶν αὐτῷ ὑπὸ τῶν συμμάχων Χίων, Ροδίων κτλ. παρεσκευάσθη νὰ πλεύσῃ κατὰ τῶν Ἀθηναίων· ἀλλὰ, παρατηρήσας ὅτι οἱ ὀπαδοὶ τοῦ Λυσάνδρου μετὰ λύπης ἐπείθοντο αὐτῷ, καὶ ὅτι γενικὴ ἰδέα ἐπεκράτει ὅτι ἡ Λακεδαίμων ἤθελεν ἀπολεσθῇ διὰ τῆς συνεχοῦς ἀλλαγῆς τῶν στρατηγῶν αὐτῆς, ἐκτιθεμένη εἰς τὰς μεγαλειτέρας συμφορὰς ἕνεκα τοῦ διορισμοῦ στρατηγῶν ἀκαταλλήλων καὶ ἀδαῶν περὶ τὰ ναυτικά, προσεκαλέσατο πάντας τοὺς παρόντας Λακεδαιμονίους καὶ εἶπεν αὐτοῖς· «Στρατιῶται, ἓν μόνον παρ' ὑμῶν ἀπαιτῶ· νὰ ἐπιστρέψω ὅθεν ἦλθον. Ἂς διορίσωσι ναύαρχον τὸν Λύσανδρον ἢ ἕτερον τῶν δοκίμων· οὐδόλως ἀντιλέξω. Ἀποσταλεὶς ὑπὸ τῆς Λακεδαίμονος ἵνα διοικήσω τὰς ναῦς, ὀφείλω νὰ ἐκτελέσω πιστῶς καὶ κατὰ γράμμα τὰς διαταγὰς αὐτῆς. Γινώσκετε τὰς προθέσεις μου καὶ τὰς μομφὰς, ἃς ἐκσφενδονίζωσι κατὰ τῆς πατρίδος ἡμῶν. Ἐκθέσατε ἀπροκαλύπτως τὴν ὑπὲρ τῶν κοινῇ συμφερόντων γνώμην σας. Πρέπει ἐγὼ νὰ παρα-

(1) Κορν. Νεπ. Λύσανδρος. 4.

μείνω ἐνταῦθα ἢ νὰ ἐπιστρέψω εἰς Σπάρτην ὅπως ἐκθέσω τὰς προθέσεις τοῦ στρατοῦ ;»

Πάντες οἱ ἀντιφρονοῦντες σιγὴν ἐτήρησαν. Ἀπήντησαν δ' ὅτι πρέπει νὰ ἐκπληρώσῃ τὴν ἀποστολὴν αὐτοῦ. Τότε μετέβη παρὰ τῷ Κύρῳ καὶ ἐζήτησε χρήματα ὅπως πληρώσῃ τὸν στόλον. Ἀποτυχὼν, ἐστάλη τὸ δεύτερον μετὰ δύω ἡμέρας, ἀλλ' ἀηδιάσας ἐπὶ τῇ προθεσμίᾳ ταύτῃ καὶ μὴ ἐπιθυμῶν νὰ κρούῃ ἀκαταπαύστως τὴν θύραν τοῦ βασιλέως, ἔλεγεν ὅτι οἱ Ἕλληνες ὤφειλον νὰ ἐρυθριῶσιν ἐπαιτοῦντες παρὰ τοῖς βαρβάροις καὶ ὅτι, ἐπανακάμπτων εἰς τὴν πατρίδα του, θὰ καταβάλλῃ πᾶσαν προσπάθειαν ὅπως συμφιλιώσῃ τὰς Ἀθήνας μετὰ τῆς Σπάρτης. Ἐκ Μιλήτου ἔπεμψεν τριήρεις εἰς Λακεδαίμονα ὅπως ζητήσῃ ζωοτροφάς. Εἶτα προσκαλεσάμενος τοὺς κατοίκους εἶπεν αὐτοῖς· «Μιλήσιοι, ὑποχρεοῦμαι νὰ πείθωμαι τοῖς ἄρχουσι τῆς Σπάρτης. Ἐξορκίζω ὑμᾶς νὰ ὑποστηρίξητε ἀφειδῶς τὸν πόλεμον τοῦτον, διότι κατοικεῖτε ἐν μέσῳ βαρβάρων, παρ' ὧν τοσαῦτα ὑπέστητε. Ὀφείλετε νὰ δώσητε τὸ παράδειγμα εἰς τοὺς συμμάχους, παρέχοντες τὰ μέσα ὅπως καταδιώξωμεν ταχέως καὶ καρτερῶς τοὺς ἐχθροὺς, καθ' ὅσον ἀναμένω τὴν ἐπιστροφὴν τῶν ταχυδρόμων, οὓς ἐξέπεμψα εἰς Λακεδαίμονα πρὸς ζήτησιν χρημάτων. Ὅ,τι ἐν τῷ ταμείῳ ὑπῆρχεν, ὁ Λύσανδρος, πρὸ τῆς ἀναχωρήσεώς του, παρέδωκεν ὡς περιττὸν τῷ Κύρῳ, ὅστις πάντοτε ἀνέβαλε τὴν εἰς αὐτὸν παρουσίασίν μου. Δὲν δύναμαι νὰ κρούω ἀκαταπαύστως τὴν θύραν τῶν ἀνακτόρων. Σᾶς ὑπόσχομαι ὅτι, ἐὰν κερδήσωμεν νίκην τινα μέχρι τῆς ἀφίξεως τοῦ ποσοῦ ὅπερ ἐζήτησα ἀπὸ τὴν Λακεδαίμονα, δὲν θέλετε μεταμεληθῇ ἐπὶ τῷ ζήλῳ ὑμῶν. Ἂς δείξωμεν τοῖς βαρβάροις ὅτι χωρὶς νὰ κύπτωμεν πρὸ αὐτῶν δυνάμεθα νὰ τιμωρῶμεν τοὺς ἐχθροὺς ἡμῶν.» Ἅμα ἔπαυσε τὸν λόγον, πολλοὶ τῶν πολιτῶν ἠγέρθησαν πρὸς ὑποστήριξιν τῆς αἰτήσεώς του. Καὶ ἐκεῖνοι ἔτι οἵτινες κατηγοροῦντο ὡς τὰ τοῦ Λυσάνδρου φρονοῦντες, φοβούμενοι, ὑπέδειξαν τὰ μέσα πρὸς εὕρεσιν χρημάτων, καταβαλλόντες ἐξ ἰδίων οὐκ εὐκαταφρόνητα ποσά. Διὰ τῶν χρημάτων τούτων προστεθέντων εἰς τὰς πέντε δραχμὰς ἃς οἱ Χῖοι κατέβαλον δι' ἕκαστον ναύτην, ὁ Καλλικρατίδας ἀπέπλευσεν εἰς Μέθυμναν, ἣν καὶ ἐκυρίευσε, λεηλατήσας τὰς οἰκίας, μηδόλως δ' ἐπιτρέψας

τὴν πώλησαν τῶν αἰχμαλώτων. «Ἐνόσῳ ἄρχω, εἶπεν, οὐδεὶς Ἕλλην θὰ γίνῃ δοῦλος».

Ὁ Κόνων ἀφίκετο βραδύτερον ὅπως σώσῃ τὴν Μέθυμναν, ἀλλ' ἠναγκάσθη νὰ καταφύγῃ εἰς τὸν λιμένα τῆς Μιτυλήνης, ἔνθα ὁ Πελοποννησιακὸς στόλος στενῶς ἐπολιόρκησεν αὐτόν. Αἱ Ἀθῆναι ἠγνόουν τὴν ἀπώλειαν τοῦ στόλου αὐτῶν. Ἦτον ἐπεῖγον ὅπως προλάβωσι πέμπουσαι βοηθείας. Ὁ Κόνων ἐπενόησε στρατήγημα ὅπερ ἐπέτυχεν. Καθελκύσας δύο ταχυπόρους ναῦς, ἐξώπλησεν αὐτάς, πρὸ τῆς ἡμέρας, διὰ κωπηλατῶν ἐκλεκτῶν, πληρώσας αὐτὰς στρατιωτῶν καί, ἵνα καλύψῃ τὸ πλήρωμα αὐτῶν, ἐναπέθεσε δέρματα καὶ ἄλλα καλύμματα. Ἡμέραν τινα, περὶ τὴν μεσημβρίαν, βλέπων τοὺς Πελοποννησίους ναύτας, τοὺς μὲν ἀμελῶς καὶ ἀδιαφόρως φυλάσσοντας, τοὺς δὲ ἐπαναπαυομένους, ἐξήγαγε του λιμένος τὰς δύο ταύτας ναῦς, ἐξ ὧν ἡ μὲν ἔπλευσε πρὸς Ἑλλήσποντον, ἡ δὲ ἐν μέσῃ θαλάσσῃ. Ἀμέσως οἱ ναῦται ἀνέσπασαν τὰς ἀγκύρας, καὶ ἤρξαντο πλέοντες πρὸς καταδίωξιν τῶν φυγάδων νηῶν, ἐξ ὧν τὴν ἐν μέσῳ θαλάσσῃ πλέουσαν κατέλαβον, τῆς ἑτέρας τῆς πρὸς τὸν Ἑλλήσποντον διευθυνθείσης κατορθωσάσης νὰ διαφύγῃ καὶ πλεύσῃ πρὸς Ἀθήνας, κομίζουσα τὴν ἀγγελίαν τῆς πολιορκίας. Οἱ Ἀθηναῖοι ἐξέπεμψαν πάραυτα ἑκατὸν ἓξ ναῦς, αἵτινες ἔφθασαν καὶ συνηνώθησαν μετὰ τῶν συμμαχικῶν.

ΜΑΧΗ ΕΝ ΑΡΓΙΝΟΥΣΑΙΣ 406. — Ὁ τῶν Λακεδαιμονίων ναύαρχος Καλλικρατίδας, πληροφορηθεὶς τὸν κατάπλουν τῶν Ἀθηναϊκῶν νηῶν διευθυνομένων πρὸς τὴν νῆσον τῶν Ἀργινουσῶν, κατέλειπεν ἐπὶ τῆς πολιορκίας τὸν Ἐτεόνικον μετὰ πολλῆς δυνάμεως αὐτὸς δὲ ἀπέπλευσε πρὸς συνάντησιν τοῦ ἐχθροῦ. Αἱ νῆσοι τῶν Ἀργινουσῶν κατοικούμεναι τότε καὶ πολισμάτιον Ἑλληνικὸν ἔχουσαι κεῖνται μεταξὺ Μιτυλήνης καὶ Κύμης, ὀλίγον ἀπέχουσαι τῆς ἠπείρου καὶ τῆς ἄκρας τῆς Κανίδος. «Οἱ Ἀθηναῖοι τὸν μὲν κατάπλουν τῶν πολεμίων εὐθέως ἔγνωσαν, οὐ μακρὰν ὁρμοῦντες, διὰ δὲ τὸ μέγεθος τῶν πνευμάτων τότε μὲν ναυμαχεῖν ἀπέγνωσαν, εἰς δὲ τὴν ἐχομένην ἡμέραν ἡτοιμάζοντο τὰ πρὸς τὴν ναυμαχίαν, τὸ αὐτὸ ποιούντων καὶ τῶν Λακεδαιμονίων, καί περ ἀμφοτέροις ἀπαγορευόντων τῶν μάντεων. Τοῖς μὲν γὰρ Λακεδαιμονίοις ἡ τοῦ θύματος κε-

φαλὴ κειμένη παρὰ τὸν Αἰγιαλὸν ἀφανὴς ἐγεγόνει προσκλύζοντος τοῦ κύματος· διόπερ ὁ μάντις προὔλεγε διότι τελευτήσει ναυμαχῶν ὁ ναύαρχος· οὗ ῥηθέντος φασὶ τὸν Καλλικρατίδαν εἰπεῖν ὅτι τελευτήσας κατὰ τὴν μάχην οὐδὲν ἀδοξοτέραν ποιήσει τὴν Σπάρτην. Τῶν δ' Ἀθηναίων ὁ στρατηγὸς Θράσυλλος, ὃς ἦν ἐπὶ τῆς ἡγεμονίας ἐκείνην τὴν ἡμέραν, εἶδε κατὰ τὴν νύκτα τοιαύτην ὄψιν· ἔδοξεν Ἀθήνῃσι τοῦ θεάτρου πλήθοντος αὐτός τε καὶ τῶν ἄλλων στρατηγῶν ἐξ ὑποκρίνεσθαι τραγῳδίαν Εὐριπίδου Φοινίσσας, τῶν δ' ἀντιπάλων ὑποκρινομένων τὰς Ἱκέτιδας δόξαι τὴν Καδμείαν νίκην αὐτοῖς προσγενέσθαι καὶ πάντας ἀποθανεῖν μιμουμένους τὰ πράγματα τῶν ἐπὶ τὰς Θήβας στρατευσάντων· ἀκούσας δ' ὁ μάντις ταῦτα διεσάφει τοὺς ἑπτὰ τῶν στρατηγῶν ἀναιρεθήσεσθαι, τῶν δ' ἱερείων φερόντων νίκην, οἱ στρατηγοὶ περὶ μὲν τῆς ἑαυτῶν ἀπωλείας ἐκώλυον ἑτέρους ἀπαγγέλλειν, περὶ δὲ τῆς ἐν τοῖς ἱεροῖς νίκης ἀνήγγειλαν καθ' ὅλην τὴν δύναμιν. Καλλικρατίδας δ' ὁ ναύαρχος συναγαγὼν τὰ πλήθη καὶ παραθρασύνας τοῖς οἰκείοις λόγοις, τὸ τελευταῖον εἶπεν εἰς τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον οὕτως εἶναι πρόθυμος αὐτὸς ὥστε τοῦ μάντεως λέγοντος διὰ τῶν ἱερείων ὑμῖν μὲν προσημαίνεθαι νίκην, ἐμοὶ δὲ θάνατον, ὅμως ἕτοιμος εἰμὶ τελευτᾶν. «Εἰδὼς οὖν μετὰ τὸν τῶν ἡγεμόνων θάνατον ἐν θορύβῳ τὰ στρατόπεδα γινόμενα, νῦν ἀναδεικνύω ναύαρχον, ἂν ἐγώ τι πάθω, τὸν διαδεξόμενον Κλέαρχον, ἄνδρα πεῖραν δεδωκότα τῶν κατὰ πόλεμον ἔργων.» Ὁ μὲν οὖν Καλλικρατίδας ταῦτ' εἰπὼν οὐκ ὀλίγους ἐποίησε ζηλῶσαι τὴν ἀρετὴν αὐτοῦ καὶ προθυμοτέρους γενέσθαι πρὸς τὴν μάχην· καὶ Λακεδαιμόνιοι μὲν παρακαλοῦντες ἀλλήλους ἐνέβαινον εἰς τὰς ναῦς. Οἱ δ' Ἀθηναῖοι παρακληθέντες ὑπὸ τῶν στρατηγῶν εἰς τὸν ἀγῶνα, κατὰ σπουδὴν ἐπλήρουν τὰς τριήρεις καὶ πάντες εἰς τάξιν καθίσαντο. Τοῦ μὲν οὖν δεξιοῦ κέρατος Θράσυλλος ἡγεῖτο καὶ Περικλῆς ὁ Περικλέους τοῦ προσαγορευθέντος κατὰ τὴν δύναμιν Ὀλυμπίου· συμπαρέλαβε δὲ καὶ Θηραμένην εἰς τὸ δεξιὸν κέρας, ἐφ' ἡγεμονίας τάξας, ὃς ἰδιώτης μὲν συνεστρατεύετο τότε, πρότερον δὲ πολλάκις ἦν ἀφηγούμενος δυνάμεων· τοὺς δ' ἄλλους στρατηγοὺς παρ' ὅλην τὴν φάλαγγα διέταξε, καὶ τὰς καλουμένας Ἀργινούσας νήσους συμπεριέλαβε τῇ τάξει, σπεύδων ὅτι πλεῖστον παρεκτεῖναι τὰς ναῦς· ὁ δὲ

Καλλικρατίδης ἀνήχθη τὸ μὲν δεξιὸν μέρος αὐτὸς ἔχων, τὸ δ' εὐώνυμον παρέδωκε Βοιωτοῖς, ὧν Θρασώνδας ὁ Θηβαῖος τὴν ἡγεμονίαν ἔσχεν· οὐ δυνάμενος δὲ τὴν τάξιν ἐξισῶσαι τοῖς πολεμίοις διὰ τὸ τὰς νήσους πολὺν ἐπέχειν τόπον, διείλετο τὴν δύναμιν, καὶ δύο ποιήσας στόλους πρὸς ἑκάτερον μέρος δίχα διηγωνίζετο· διὸ καὶ παρείχετο μεγάλην κατάπληξιν πολλαχῇ τοῖς θεωμένοις, ὡς ἂν τεσσάρων μὲν στόλων ναυμαχούντων, τῶν δὲ νεῶν συνηθροισμένων εἰς ἕνα τόπον οὐ πολλαῖς ἔλαττον τῶν τριακοσίων· μεγίστη γὰρ αὕτη μνημονεύεται ναυμαχία γεγενημένη Ἕλλησι πρὸς Ἕλληνας· ἅμα δ' οἵ τε ναύαρχοι τοῖς σαλπιγκταῖς παρεκελεύοντο σημαίνειν καὶ τὸπάρ' ἑκατέροις πλῆθος ἐναλλὰξ ἐπαλαλάζον ἐξαίσιον ἐποίει βοήν· πάντες δὲ μετὰ σπουδῆς ἐλαύνοντες τὸ ῥόθιον ἐφιλοτιμοῦντο πρὸς ἀλλήλους, ἑκάστου σπεύδοντος πρώτου κατάρξασθαι τῆς μάχης· ἔμπειροί τε γὰρ ἦσαν τῶν κινδύνων οἱ πλεῖστοι διὰ τὸ μῆκος τοῦ πολέμου, καὶ σπουδὴν ἀνυπέρβλητον ἐπεφέροντο διὰ τὸ τοὺς κρατίστους εἰς τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα συνηθροῖσθαι· πάντες γὰρ ὑπελάμβανον τοὺς ταύτῃ τῇ μάχῃ νικήσαντας πέρας ἐπιθήσειν τῷ πολέμῳ. Οὐ μὴν ἀλλ' ὁ Καλλικρατίδης ἀκηκοὼς τοῦ μάντεως τὴν περὶ αὐτὸν ἐσομένην τελευτήν, ἔσπευδεν ἐπιφανέστατον ἑαυτῷ περιποιήσασθαι θάνατον· διόπερ πρῶτος ἐπὶ τὴν Λυσίου τοῦ στρατηγοῦ ναῦν ἐπιπλεύσας καὶ σὺν ταῖς ἅμα πλεούσαις τριήρεσιν ἐξ ἐφόδου τρώσας κατέδυσε. Τῶν δ' ἄλλων τὰς μὲν τοῖς ἐμβόλοις τύπτων ἄπλους ἐποίει, τῶν δὲ τοὺς ταρσοὺς ἀχρήστους ἀπετέλει πρὸς τὴν μάχην. Τὸ δὲ τελευταῖον δοὺς ἔμβολον τῇ τοῦ Περικλέους τριήρει βιαιότερον, τῆς μὲν τριήρους ἐπὶ πολὺν ἀνέρρηξε τόπον, τοῦ δὲ στόματος ἐναρμοσθέντος εἰς τὴν ἀκίδα, καὶ μὴ δυναμένων αὐτῶν ἀνακρούσασθαι, Περικλῆς μὲν ἐπέβαλε τῇ τοῦ Καλλικρατίδα νηῒ σιδηρᾶν χεῖρα, προσαχθείσης δ' αὐτῆς οἱ μὲν Ἀθηναῖοι παριστάντες τὴν ναῦν εἰσήλλοντο, καὶ περιχυθέντες τοὺς ἐν αὐτῇ πάντας ἀπέσφαξαν· τότε δὴ φασὶ τὸν Καλλικρατίδην λαμπρῶς ἀγωνισάμενον καὶ πολὺν ἀντισχόντα χρόνον, τὸ τελευταῖον ὑπὸ τοῦ πλήθους πανταχόθεν τιτρωσκόμενον καταπονηθῆναι· ὡς δὲ τὸ περὶ τὸν ναύαρχον ἐλάττωμα συμφανὲς ἐγένετο, συνέβη τοὺς Πελοποννησίους δείσαντας ἐκκλῖναι· τοῦ δὲ δεξιοῦ μέρους τῶν Πελοποννησίων φυγόντος, οἱ τὸ

λαιὸν ἔχοντες Βοιωτοὶ χρόνον μέν τινα διεκαρτέρουν εὐρώστως ἀγωνιζόμενοι· εὐλαβοῦντο γὰρ αὐτοῖς οἱ συγκινδυνεύοντες Εὐβοεῖς καὶ πάντες οἱ τῶν Ἀθηναίων ἀφεστηκότες μή ποτε Ἀθηναῖοι τὴν ἀρχὴν ἀνακτησάμενοι τιμωρίαν παρ' αὐτῶν λάβωσιν ὑπὲρ τῆς ἀποστάσεως. Ἐπειδὴ δὲ τὰς πλείστας ναῦς εὗρεν τετρωμένας καὶ τὸ πλῆθος τῶν νικώντων ἐπ' αὐτοὺς ἐπιστραφὲν, ἠναγκάσθησαν φυγεῖν· τῶν μὲν οὖν Πελοποννησίων οἳ μὲν εἰς Χίον οἳ δ' εἰς Κύμην διεσώθησαν· οἱ δ' Ἀθηναῖοι διώξαντες ἐφ' ἱκανὸν τοὺς ἡττημένους πάντα τὸν σύνεγγυς τόπον τῆς θαλάττης ἐπλήρωσαν νεκρῶν καὶ ναυαγίων· μετὰ δὲ ταῦτα τῶν στρατηγῶν οἳ μὲν ὤοντο δεῖν τοὺς τετελευτηκότας ἀναιρεῖσθαι διὰ τὸ χαλεπῶς διατίθεσθαι τοὺς Ἀθηναίους ἐπὶ τοῖς ἀτάφους περιορῶσι τοὺς τετελευτηκότας, οἳ δ' ἔφασαν δεῖν ἐπὶ τὴν Μιτυλήνην πλεῖν καὶ τὴν ταχίστην λῦσαι πολιορκίαν· ἐπεγενήθη δὲ καὶ χειμὼν μέγας ὥστε σαλεύεσθαι τὰς τριήρεις, καὶ τοὺς στρατιώτας διά τε τὴν ἐκ τῆς μάχης κακοπάθειαν καὶ διὰ τὸ μέγεθος τῶν κυμάτων ἀντιλέγειν πρὸς τὴν ἀναίρεσιν τῶν νεκρῶν. Τέλος δὲ τοῦ χειμῶνος ἐπιτείνοντος οὔτε ἐπὶ τὴν Μιτυλήνην ἔπλευσαν οὔτε τοὺς τετελευτηκότας ἀνείλοντο, βιασθέντες δὲ ὑπὸ τῶν πνευμάτων εἰς Ἀργινούσας κατέπλευσαν· ἀπώλοντο δὲ ἐν τῇ ναυμαχίᾳ τῶν μὲν Ἀθηναίων ναῦς εἴκοσι πέντε καὶ τῶν ἐν αὐταῖς οἱ πλεῖστοι, τῶν δὲ Πελοποννησίων ἑπτὰ πρὸς ταῖς ἑβδομήκοντα· διόπερ τοσούτων νέων καὶ τῶν ἐν αὐταῖς γεγενημένων ἀνδρῶν ἀπολωλότων ἐπλήσθη τῆς Κυμαίων καὶ Φωκαέων ἡ παραθαλάττιος χώρα νεκρῶν καὶ ναυαγίων.» 1)

ΟΙ ΠΕΛΟΠΟΝΝΗΣΙΟΙ ΑΙΡΟΥΣΙ ΤΗΝ ΠΟΛΙΟΡΚΙΑΝ ΤΗΣ ΜΙΤΥΛΗΝΗΣ (406). — Ὁ τὴν Μιτυλήνην πολιορκῶν Ἐτεόνικος, πληροφορηθεὶς τὴν ἔκβασιν τῆς ἐν Ἀργινούσαις μάχης, διετήρησεν αὐτὴν μυστικήν, διαδόσας μάλιστα ὅτι ἐνίκησεν ὁ Καλλικρατίδας. Εἶτα, θύσας τοῖς θεοῖς, διέταξε τοῖς μὲν στρατιώταις νὰ ἑτοιμασθῶσι πρὸς ἀπόπλουν, τοῖς δὲ ἐμπόροις νὰ ἐπιβιβάσωσιν ἀθορύβως τὰ ἐμπορεύματα αὐτῶν εἰς τὰς ναῦς ὅπως, οὐρίου τυγχάνοθσαι ἀνέμου, ἀποπλεύσωσιν εἰς Χίον, πυρπολήσας δὲ τὸ πεδίον μετέβη εἰς

(1) Διόδ. Σικελ. βιβλ. 13, 97—100.

Μεθύμνην μετὰ τοῦ πεζικοῦ στρατοῦ. Ὁ Κόνων, ἐλευθερωθείς, ἀπέπλευσεν εἰς Μιτυλήνην μετὰ τοῦ Ἀθηναϊκοῦ στόλου, ἐκεῖθεν εἰς Χίον καὶ τέλος εἰς Σάμον, γενικὸν αὐτοῦ σταθμόν, ἄνευ οὐδενὸς σπουδαίου ἐπιχειρήματος.

πολιορκίαν, ὡς ὁ μὲν χειμὼν συνήγγισε, τὴν δὲ πόλιν ἑλεῖν οὐκ ἠδύνατο, τοὺς αἰχμαλώτους πολλῶν χρημάτων ἀπελύτρωσε καὶ τὴν πολιορκίαν ἔλυσε. Λακεδαιμόνιοι δὲ ἐπὶ τὸν πρὸς βασιλέα πόλεμον Θίβρωνα καταστήσαντες ἡγεμόνα χιλίους μὲν τῶν πολιτῶν ἔδωκαν, παρὰ δὲ τῶν συμμάχων ἐκέλευσαν στρατολογεῖν ὅσους ἂν αὐτῷ φαίνηται συμφέρειν· ὁ δὲ Θίβρων πορευθεὶς εἰς Κόρινθον, κἀκεῖ παρὰ τῶν συμμάχων μεταπεμψάμενος στρατιώτας, ἐξέπλευσεν εἰς Ἔφεσον ἔχων οὐ πλείους πεντακισχιλίων. Ἐκεῖ δὲ ἔκ τε τῶν ἰδίων πόλεων καὶ τῶν ἄλλων ὡς δισχιλίους καταγράψας, ἀνέζευξε τοὺς πάντας ἔχων πλείους ἑπτακισχιλίων· διελθὼν δ' ὡς ἑκατὸν εἴκοσι σταδίους πρὸς Μαγνησίαν, ἧς ἦρχε Τισσαφέρνης, ταύτην δ' ἐξ ἐφόδου παραλαβὼν καὶ ταχέως ἐπὶ Τράλλεις τῆς Ἰωνίας πορευθεὶς, ἐπεχείρησε πολιορκεῖν τὴν πόλιν· οὐδὲν δὲ δυνάμενος πρᾶξαι διὰ ὀχυρότητα, πάλιν εἰς Μαγνησίαν ἀπεχώρησε. Τισσαφέρνους δὲ μετὰ πολλῆς ἵππου παραγενομένου, διευλαβηθεὶς ἀνέστρεψεν εἰς Ἔφεσον.» 1)

Ἀλλ' ἅμα ὡς ὁ Ξενοφῶν ἔφερεν αὐτῷ τοὺς ἐναπολειφθέντας ἐκ τῶν περιδόξων ἐπικούρων τοῦ Κύρου, ἐξεστράτευσε περαιτέρω, κατέλαβε τὴν Πέργαμον, Τευθρανίαν, τὴν Ἁλικαρνασσὸν καὶ ἄλλας κακῶς ὀχυρουμένας πόλεις. Εἶτα ἐπολιόρκησε τὴν Λάρισσαν, ἀλλ' ἄνευ ἀποτελέσματος· ἡ Σπάρτη ὅμως ἀγνωμονοῦσα μετεκαλέσατο αὐτόν.

Ο ΔΕΡΚΥΛΛΙΔΑΣ ΑΝΤΙΚΑΘΙΣΤΗΣΙ ΤΟΝ ΘΙΒΡΩΝΑ (399).

«Οἱ Λακεδαιμόνιοι πυθόμενοι τὸν Θίβρωνα κακῶς διοικοῦντα τὰ κατὰ τὸν πόλεμον, Δερκυλλίδαν στρατηγὸν εἰς τὴν Ἀσίαν ἐξέπεμψαν, ὃς παραλαβὼν τὴν δύναμιν ἐστράτευσεν ἐπὶ τὰς ἐν Τρῳάδι πόλεις. Ἁμάξιτον μὲν οὖν καὶ Κολώνας καὶ Ἀρίσβαν εἷλεν ἐξ ἐφόδου· μετὰ δὲ ταῦτα Ἴλιον καὶ Κεβρηνίαν καὶ τὰς ἄλλας ἁπάσας τὰς κατὰ τὴν Τρωάδα, ἃς μὲν δόλῳ παρέλαβεν, ἃς δὲ ἐκ βίας ἐχειρώσατο. Μετὰ δὲ ταῦτα πρὸς Φαρνάβαζον ὀκταμηνιαίους ἀνοχὰς ποιησάμενος ἐστράτευσεν ἐπὶ Θρᾷκας τοὺς περὶ Βιθυνίαν τότε

---

(1) Διόδ. Σικελ. βιβλ. 14. 35 καὶ 36.

κατοικοῦντας· πορθήσας δ' αὐτῶν τὴν χώραν ἀπήγαγε τὴν δύναμιν εἰς παραχειμασίαν.» 1)

Ο ΦΑΡΝΑΒΑΖΟΣ ΕΠΙΤΥΓΧΑΝΕΙ ΥΠΕΡ ΤΟΥ ΚΟΝΩΝΟΣ ΤΗΝ ΑΡΧΗΓΙΑΝ ΤΟΥ ΠΕΡΣΙΚΟΥ ΣΤΟΛΟΥ. — «Φαρνάβαζος δὲ, τῶν πρὸς Λακεδαιμονίους ἀνοχῶν γενομένων ἀνέβη πρὸς τὸν βασιλέα, καὶ συνέπεισεν αὐτὸν στόλον ἑτοιμάσαι καὶ ναύαρχον ἐπιστῆσαι Κόνωνα τὸν Ἀθηναῖον· οὗτος γὰρ ἦν ἔμπειρος τῶν κατὰ πόλεμον ἀγώνων, καὶ μάλιστα τῶν ναυτικῶν, πολεμικώτατος δ' ὢν ἐν Κύπρῳ διέτριβε παρὰ Εὐαγόρᾳ τῷ βασιλεῖ· πεισθέντος δὲ τοῦ βασιλέως, Φαρνάβαζος λαβὼν ἀργυρίου τάλαντα πεντακόσια παρεσκευάζετο κατασκευάζειν ναυτικόν· διαπλεύσας οὖν εἰς Κύπρον τοῖς μὲν ἐκεῖ βασιλεῦσι παρήγγειλεν ἑκατὸν τριήρεις ἑτοιμάζειν, τῷ δὲ Κόνωνι περὶ τῆς ναυαρχίας διαλεχθεὶς ἐπέστησεν αὐτὸν ἐπὶ τὴν θάλατταν ἡγεμόνα, μεγάλας ὑποφαίνων παρὰ τοῦ βασιλέως ἐλπίδας. Ὁ δὲ Κόνων ἅμα μὲν ἐλπίζων ἀνακτήσεσθαι τῇ πατρίδι τὴν ἡγεμονίαν, εἰ Λακεδαιμόνιοι κατεπολεμηθεῖεν, ἅμα δ' αὐτὸς μεγάλης τεύξεσθαι δόξης, προσεδέξατο τὴν ναυαρχίαν· οὕπω δὲ τοῦ στόλου παντὸς παρεσκευασμένου, τὰς ἑτοίμους ναῦς τετταράκοντα λαβὼν διέπλευσεν εἰς Κιλικίαν, κἀκεῖ τὰ πρὸς πόλεμον ἡτοιμάζετο.» 2)

Ο ΤΙΣΣΑΦΕΡΝΗΣ ΠΟΙΕΙΤΑΙ ΣΠΟΝΔΑΣ ΜΕΤΑ ΤΟΥ ΔΕΡΚΥΛΛΙΔΑ. — «Φαρνάβαζος δὲ καὶ Τισσαφέρνης ἐκ τῶν ἰδίων σατραπειῶν ἀθροίσαντες στρατιώτας ἀνέζευξαν, ἐπὶ τῆς Ἐφέσου τὴν πορείαν ποιούμενοι διὰ τὸ τοὺς πολεμίους ἔχειν ἐνταῦθα τὴν δύναμιν· καὶ συνηκολούθουν αὐτοῖς πεζοὶ μὲν δισμύριοι, ἱππεῖς δὲ μύριοι· ἀκούων δὲ τῶν Περσῶν τὴν ἔφοδον Δερκυλλίδης ὁ τῶν Λακεδαιμονίων ἀφηγούμενος ἐξήγαγε τὴν δύναμιν, ἔχων τοὺς πάντας οὐ πλείους τῶν ἑπτακισχιλίων· ὡς δ' ἐγγὺς ἀλλήλων ἐγενήθη τὰ στρατόπεδα, σπονδὰς ἐποιήσαντο, καὶ χρόνον ὥρισαν ἐν ᾧ ὁ Φαρνάβαζος μὲν πρὸς τὸν βασιλέα πέμψει περὶ συνθηκῶν, εἰ βούλοιτο καταλῦσαι τὸν πόλεμον, Δερκυλλίδας δὲ τοῖς Σπαρτιάταις

(1) Διόδ. Σικελ. βιβλ. 14, 38.
(2) Διόδ. Σικελ. βιβλ. 14, 39.

δηλώσει περὶ τούτων· οὕτω λοιπὸν διελύθησαν τὰ στρατόπεδα, τοῦ μὲν βαρβαρικοῦ ἀποσυρθέντος εἰς Τράλλεις, τοῦ δὲ Ἑλληνικοῦ ἐν Μαγνησίᾳ, τῇ ἐπὶ Μαιάνδρῳ. 1)

Ο ΑΓΗΣΙΛΑΟΣ ΑΝΑΛΑΜΒΑΝΕΙ ΤΗΝ ΑΡΧΗΓΙΑΝ ΤΟΥ ΣΤΡΑΤΟΥ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ (391) — Ἐν τοσούτῳ, μεθ' ὅλας τὰς ἐπιτυχίας καὶ τὴν πεπειραμένην πολιτικὴν τοῦ Δερκυλλίδα, ὁ πόλεμος παρετείνετο, ἄνευ οὐδενὸς τελικοῦ ἀποτελέσματος. Ἡ φιλοτιμία τοῦ Λυσάνδρου νέαν φάσιν ἐπέδωκεν εἰς τὰ πράγματα. Ὁ Ἀγησίλαος, ἀνελθὼν ἐπὶ τοῦ θρόνου, ἐπὶ βλάβῃ τοῦ υἱοῦ τοῦ Ἄγιδος, ἀνέλαβε τὴν ἀρχιστρατηγίαν· ὁ δὲ Λύσανδρος συνώδευσεν αὐτόν, ἐλπίζων νὰ κυβερνήσῃ τὸν στρατὸν ἐπ' ὀνόματι τοῦ Ἀγησιλάου, καθόσον δὲν ἐγνώριζε τὴν ἐνεργητικότητα καὶ τὰς ἀρετὰς τοῦ ἀνδρός, ὃν ἤλπιζε νὰ ὁδηγήσῃ. Ὁ Ἀγησίλαος δὲν ἐβράδυνε νὰ ἀποδείξῃ τῷ Λυσάνδρῳ ὅτι, οὐ μόνον ἤθελεν, ἀλλὰ καὶ ἐγνώριζε νὰ ᾖ ἡγεμών.

Ὁ Ἀγησίλαος, ἐπιτυχὼν ὅπως δώσωσιν αὐτῷ ὡς συμβούλους καὶ ἡγεμόνας τριάκοντα Σπαρτιάτας καὶ τὴν ἀρχηγίαν δύο χιλιάδων νεοδαμώδων καὶ δέκα χιλιάδων 2) συμμάχων, μετέβη εἰς Ἀσίαν μετὰ τοῦ στρατοῦ αὐτοῦ καὶ ἀφίκετο εἰς Ἔφεσον.

ΣΠΟΝΔΑΙ ΜΕΤΑ ΤΟΥ ΤΙΣΣΑΦΕΡΝΟΥΣ. — Μόλις ἀφίκετο εἰς Ἔφεσον, ὁ Τισσαφέρνης σπονδὰς ἐποιήσατο μετ' αὐτοῦ ἃς ὑπεσχέθη νὰ τηρήσῃ εὐλαβῶς· ὁ Ἀγησίλαος ὤμωσεν ἐπίσης νὰ ᾖ πιστὸς ἐνόσῳ ὁ Τισσαφέρνης σεβασθήσεται τὰς σπονδάς. Προέβλεπεν ὅμως ὅτι ὁ σατράπης δὲν ἤθελε τηρήσῃ τὸν λόγον του· καὶ πράγματι, ἀμέσως ὁ Τισσαφέρνης μετεκαλέσατο πολυάριθμον στρατὸν ἐκ Περσίας. Ὁ Ἀγησίλαος, τῶν σπονδῶν διαρκουσῶν, ἔμενεν ἄπρακτος καὶ ἡσυχάζων ἐν Ἐφέσῳ, καταγινόμενος νὰ ἐπαναγάγῃ τὴν τάξιν εἰς τὰς Ἑλληνίδας πόλεις. Ὁ Τισσαφέρνης, μόλις λαβὼν ἐπικουρίας, προσεκάλεσε τὸν βασιλέα τῆς Σπάρτης ν' ἀποσυρθῇ ἐκ τῆς Ἀσίας,

---

(1) Διόδ. Σικελ. βιβλ. 14. 39.

2) Ὁ Πλούταρχος ἐν βίῳ Ἀγησιλάου ὑπολογίζει τὴν συμμαχικὴν δύναμιν εἰς ἑξακισχιλίους. Σ. τοῦ Μ.

ἄλλως τὴν ἄρνησίν του θέλει ἐπακολουθήσῃ ἡ κήρυξις τοῦ πολέμου. 1)

Ο ΑΓΗΣΙΛΑΟΣ ΔΙΑΦΘΕΙΡΕΙ ΤΗΝ ΦΡΥΓΙΑΝ. — Ὁ Ἀγησίλαος, ἐνεργήσας στρατολογίαν εἰς τὰς πόλεις τῆς Ἰωνίας, Αἰολίδως καὶ τοῦ Ἑλλησπόντου, καὶ περιαγαγὼν τὴν δύναμιν αὐτοῦ εἰς μυρίους μὲν πεζοὺς, τετρακοσίους δὲ ἱππεῖς, βαίνει κατὰ τῆς Καρίας, ἐν ᾗ ὁ σατράπης ἐμελέτα νὰ εἰσβάλῃ. «Διεξιὼν δὲ τὸ Καΰστριον πεδίον, διέφθειρε τὴν χώραν τὴν ὑπὸ τοὺς Πέρσας οὖσαν μέχρις ὅτου κατήντησεν εἰς Κύμην· ἐκεῖθεν δ' ὁρμηθεὶς τὸ πλεῖστον τοῦ θέρους τήν τε Φρυγίαν καὶ τὰ συνεχῆ διετέλεσε πορθῶν, καὶ τὴν δύναμιν ἐμπλήσας ὠφελείας ὑπὸ τὸ φθινόπωρον ἀνέκαμψεν εἰς Ἔφεσον» 2).

Ο ΒΑΣΙΛΕΥΣ ΤΗΣ ΑΙΓΥΠΤΟΥ ΠΕΜΠΕΙ ΕΠΙΚΟΥΡΙΑΣ ΕΙΣ ΤΟΥΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ. — «Τούτων δὲ πραττομένων Λακεδαιμόνιοι πρέσβεις ἀπέστειλαν πρὸς Νεφερέα τῆς Αἰγύπτου βασιλέα περὶ συμμαχίας, ὃς ἀντὶ τῆς βοηθείας ἐδωρήσατο σκευὴν τοῖς Σπαρτιάταις ἑκατὸν τριήρεσι, σίτου δὲ μυριάδας πεντήκοντα» 3).

ΕΠΙΤΥΧΙΑΙ ΝΑΥΤΙΚΑΙ ΚΟΝΩΝΟΣ. — «Φάραξ, ὁ τῶν Λακεδαιμονίων ναύαρχος, ἀναχθεὶς ἐκ Ρόδου ναυσὶν ἑκατὸν εἴκοσι κατέπλευσε τῆς Καρίας πρὸς Σάσανδα, φρούριον ἀπέχον τῆς Καύνου σταδίους ἑκατὸν πεντήκοντα· ἐκεῖθεν δ' ὁρμώμενος ἐπολιόρκει τὴν Καῦνον καὶ Κόνωνα τὸν τοῦ μὲν βασιλικοῦ στόλου τὴν ἡγεμονίαν ἔχοντα, διατρίβοντα δ' ἐν Καύνῳ μετὰ νεῶν τεσσαράκοντα. Ἀρταφέρνους δὲ καὶ Φαρναβάζου μετὰ πολλῆς δυνάμεως παραβοηθήσαντος τοῖς Καυνίοις, ὁ Φάραξ ἔλυσε τὴν πολιορκίαν καὶ μετὰ τοῦ στόλου παντὸς ἀπῆρεν εἰς Ῥόδον· μετὰ δὲ ταῦτα Κόνων μὲν ἀθροίσας ὀγδοήκοντα τριήρεις ἔπλευσεν εἰς Χερρόνησον, Ῥόδιοι δὲ ἐκβαλόντες τὸν τῶν Πελοποννησίων στόλον ἀπέστησαν ἀπὸ Λακεδαιμονίων, καὶ τὸν Κόνωνα προσεδέξαντο μετὰ τοῦ στόλου παντὸς εἰς τὴν πόλιν· οἱ δ' ἐκ τῆς Αἰγύπτου τὸν δωρηθέντα σῖτον κατακο-

---

1) Ξεν. Ἑλληνικά. Βιβλ. III, κεφ. 4. § 5—10.
(2) Διόδ. Σικελ. βιβλ. 14, 79.
(3) Διόδ. Σικελ. βιβλ. 14, 79.

μίζοντες Λακεδαιμόνιοι τὴν ἀπόστασιν τῶν Ροδίων ἀγνοοῦντες τεθαρρηκότες προσέπλεον τῇ νήσῳ. Ρόδιοι δὲ καὶ Κόνων ὁ τῶν Περσῶν ναύαρχος καταγαγόντες τὰς ναῦς εἰς τοὺς λιμένας ἐπλήρωσαν σίτου τὴν πόλιν· παρεγενήθησαν δὲ τῷ Κόνωνι τριήρεις ἐνενήκοντα, δέκα μὲν ἀπὸ Κιλικίας, ὀγδοήκοντα δ' ἀπὸ Φοινίκης, ὧν ὁ Σιδωνίων δυνάστης εἶχε τὴν ἡγεμονίαν.» 1)

ΝΙΚΗ ΑΓΗΣΙΛΑΟΥ ΕΝ ΤΟΙΣ ΠΕΔΙΟΙΣ ΤΩΝ ΣΑΡΔΕΩΝ. — «Μετὰ δὲ ταῦτα Ἀγησίλαος μὲν ἐξαγαγὼν τὴν δύναμιν εἰς τὸ Καΰστρου πεδίον καὶ τὴν περὶ Σίπυλον χώραν, ἐδήωσε τὰς τῶν ἐγχωρίων κτήσεις. Τισσαφέρνης δὲ μυρίους μὲν ἱππεῖς πεντακισμυρίους δὲ πεζοὺς ἀθροίσας, ἐπηκολούθει τοῖς Λακεδαιμονίοις καὶ τοὺς ἀποσπωμένους τῆς τάξεως ἐν ταῖς προνομαῖς ἀνῄρει. Ἀγησίλαος δὲ εἰς πλινθίον συντάξας τοὺς στρατιώτας ἀντείχετο τῆς παρὰ τὸν Σίπυλον παρωρείας, ἐπιτηρῶν καιρὸν εὔθετον εἰς τὴν τῶν πολεμίων ἐπίθεσιν. Ἐπελθὼν δὲ τὴν χώραν μέχρι Σάρδεων, ἔφθειρε τούς τε κήπους καὶ τὸν παράδεισον τοῦ Τισσαφέρνους, φυτοῖς καὶ τοῖς ἄλλοις πολυτελῶς πεφιλοτεχνημένον εἰς τρυφὴν καὶ τὴν ἐν εἰρήνῃ τῶν ἀγαθῶν ἀπόλαυσιν· μετὰ δὲ ταῦτ' ἐπιστρέψας, ὡς ἀνὰ μέσον ἐγενήθη τῶν τε Σάρδεων καὶ Θυβαρνῶν, ἀπέστειλε Ξενοκλέα τὸν Σπαρτιάτην μετὰ χιλίων καὶ τετρακοσίων στρατιωτῶν νυκτὸς εἴς τινα δασὺν τόπον, ὅπως ἐνεδρεύσῃ τοῖς βαρβάροις· αὐτὸς δ' ἅμ' ἡμέρᾳ πορευόμενος μετὰ τῆς δυνάμεως, ἐπειδὴ τὴν μὲν ἐνέδραν παρήλλαξεν, οἱ δὲ βάρβαροι προσπίπτοντες ἀτάκτως τοῖς ἐπὶ τῆς οὐραγίας ἐξήπτοντο, παραδόξως ἐξαίφνης ἐπέστρεψεν ἐπὶ τοὺς Πέρσας· γενομένης δὲ καρτερᾶς μάχης, καὶ τοῦ συσσήμου τοῖς κατὰ τὴν ἐνέδραν οὔσιν ἀρθέντος, ἐκεῖνοι μὲν παιανίσαντες ἐπεφέροντο τοῖς πολεμίοις, οἱ δὲ Πέρσαι θεωροῦντες αὐτοὺς ἀπολαμβανομένους εἰς μέσον κατεπλάγησαν καὶ παραχρῆμα ἔφευγον· οἱ δὲ περὶ τὸν Ἀγησίλαον μέχρι μέν τινος ἐπιδιώξαντες ἀνεῖλον μὲν ὑπὲρ τοὺς ἑξακισχιλίους, αἰχμαλώτων δὲ πολὺ πλῆθος ἤθροισαν, τὴν δὲ παρεμβολὴν διήρπασαν, γέμουσαν πολλῶν ἀγαθῶν· ἀπὸ δὲ τῆς μάχης Τισσαφέρνης μὲν εἰς Σάρδεις ἀπεχώρησε, καταπεπληγμένος

(1) Διόδ. Σικελ. βιβλ. 14, 79.

τὴν τόλμαν τῶν Λακεδαιμονίων, Ἀγησίλαος δ' ἐπεχείρησε μὲν εἰς τὰς ἄνω σατραπείας, ἐν δὲ τοῖς ἱεροῖς οὐ δυνάμενος καλλιεργῆσαι πάλιν ἀπήγαγε τὴν δύναμιν ἐπὶ θάλατταν.» 1).

Ο ΤΙΣΣΑΦΕΡΝΗΣ ΑΠΟΚΤΕΙΝΕΤΑΙ. — Ο ΤΙΘΡΑΥΣΤΗΣ ΑΝΤΙΚΑΘΙΣΤΗΣΙΝ ΑΥΤΟΝ. — «Ἀρταξέρξης δὲ ὁ τῆς Ἀσίας βασιλεὺς τά τε ἐλαττώματα πυθόμενος, καὶ καταρρωδῶν τὸν πρὸς τοὺς Ἕλληνας πόλεμον, δι' ὀργῆς εἶχε τὸν Τισσαφέρνην. Τοῦτον γὰρ αἴτιον τοῦ πολέμου γεγονέναι .... ὑπὸ τῆς μητρὸς Παρυσάτιδος ἦν ἠξιωμένος τιμωρήσασθαι τὸν Τισσαφέρνην. Εἶχε γὰρ αὕτη διαφόρως πρὸς αὐτὸν ἐκ τοῦ διαβεβληκέναι τὸν υἱὸν αὐτῆς Κῦρον, ὅτε τὴν ἐπὶ τὸν ἀδελφὸν στρατείαν ἐποιεῖτο· καταστήσας οὖν Τιθραύστην ἡγεμόνα, τούτῳ μὲν παρήγγειλε συλλαμβάνειν Τισσαφέρνην, πρὸς δὲ τὰς πόλεις καὶ τοὺς σατράπας ἔπεμψεν ἐπιστολὰς ὅπως ἂν πάντες ποιῶσι τούτῳ τὸ προσταττόμενον. Ὁ δὲ Τιθραύστης παραγενόμενος εἰς Κολοσσὰς τῆς Φρυγίας συνέλαβε Τισσαφέρνην διά τινος Ἀριαίου σατράπου λουόμενον, καὶ τὴν κεφαλὴν ἀποκόψας ἀπέστειλε πρὸς βασιλέα» 2).

Ο ΚΟΝΩΝ ΖΗΤΕΙ ΠΑΡΑ ΤΟΥ ΑΡΤΑΞΕΡΞΟΥ ΕΠΙΚΟΥΡΙΑΣ. — «Κόνων δὲ ὁ τῶν Περσῶν ναύαρχος ἐπὶ μὲν τοῦ στόλου κατέστησεν Ἱερώνυμον καὶ Νικόδημον Ἀθηναίους ὄντας, αὐτὸς δὲ σπεύδων ἐντυχεῖν τῷ βασιλεῖ παρέπλευσεν εἰς Κιλικίαν, κἀκεῖθεν εἰς Θάψακον τῆς Συρίας, πορευθεὶς ἀνὰ τὸν Εὐφράτην ποταμὸν ἔπλευσεν εἰς Βαβυλῶνα· ἐκεῖ δ' ἐντυχὼν τῷ βασιλεῖ καταναυμαχήσειν ἐπηγγείλατο τοὺς Λακεδαιμονίους, ἂν αὐτῷ χρήματα καὶ τὴν ἄλλην παρασκευὴν ἑτοιμάσῃ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν· ὁ δ' Ἀρταξέρξης ἐπαινέσας αὐτὸν καὶ δωρεαῖς μεγάλαις τιμήσας, συνέστησε ταμίαν τὸν χορηγήσοντα χρημάτων πλῆθος ὅσον ἂν προστάττῃ Κόνων, καὶ τὴν ἐξουσίαν ἔδωκεν αὐτῷ λαβεῖν εἰς τὸν πόλεμον συνηγησόμενον ὃν ἂν προαιρῆται Περσῶν. Κόνων οὖν Φαρνάβαζον ἑλόμενος τὸν σατράπην κατέβαινεν εἰς τὴν θάλατταν, ἅπαντα διωκηκὼς κατὰ τὴν ἑαυτοῦ διάνοιαν» (395) 3).

---

(1) Διόδ. Σικελ. βιβλ. 14, 80.
(2) Διόδ. Σικελ. βιβλ. 14, 80.
(3) Διόδ. Σικελ. βιβλ. 14, 80 καὶ 81.

ΑΠΟΠΕΙΡΑΙ ΤΙΘΡΑΥΣΤΟΥ ΠΑΡΑ ΤΩ ΑΓΗΣΙΛΑΩ ΚΑΙ ΤΟΙΣ ΕΛΛΗΣΙΝ.—Ὁ Τιθραύστης, μετὰ τὸν θάνατον τοῦ Τισσαφέρνους, διεμήνυσεν εἰς τὸν Ἀγησίλαον ὅτι ὁ αἴτιος τοῦ πολέμου ἐτιμωρήθη ὡς ἤξιζε καὶ ὅτι, κατὰ τὴν ἐπιθυμίαν τοῦ βασιλέως, αἱ πόλεις τῆς Ἀσίας θέλουσιν ἀπολαύσει τῆς ἐλευθερίας ἐπὶ τῷ ὅρῳ τῆς καταβολῆς τοῦ συνήθους φόρου καὶ τῆς ἐπιστροφῆς τοῦ Ἀγησιλάου εἰς Σπάρτην. Ὁ Ἀγησίλαος, πρὶν ἔτι ἀπαντήσῃ ὅτι οὐδὲν ἠδύνατο ν' ἀποφασίσῃ ἄνευ τῆς συγκαταθέσεως τῶν Λακεδαιμονίων ἡγεμόνων, προέτεινεν αὐτῷ ὅτι δύναται νὰ ἀποσυρθῇ ἐπὶ τῆς χώρας τοῦ Φαρναβάζου, ἂν λάβῃ ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα πρὸς διατήρησιν τοῦ στρατοῦ αὐτοῦ. Λαβὼν τὸ ποσὸν τοῦτο, ὁ Ἀγησίλαος ἀπήγαγε τὸ στράτευμα εἰς Φρυγίαν.

Ὁ Τιθραύστης εἶχε προϊδει ταῦτα, ἀλλὰ συνέφερον αὐτῷ, καθόσον ἀπεμάκρυνε τὸν πόλεμον ἐκ τῶν ἐπαρχιῶν αὐτοῦ. «Οἱ σατράπαι οὗτοι, λέγει ὁ Duruy 1) ζηλοτυποῦντες ἀλλήλοις, πρὸς μεγίστην χαρὰν τῆς αὐλῆς τῶν Σούσων, ἥτις ἀμφέβαλλε πάντοτε περὶ τῆς πίστεως αὐτῶν, ἐνησχολοῦντο ἀποκλειστικῶς περὶ τὴν εἴσπραξιν τῶν φόρων καὶ τὴν διατήρησιν τῆς εἰρήνης ἐν ταῖς ἐπαρχίαις αὐτῶν. Τοῦτο καθαρῶς ἀπήτει καὶ ὁ μέγας βασιλεὺς παρ' αὐτῶν.»

Ὁ Τιθραύστης ἤδη δὲν μετῆλθε τὴν ἐγωϊστικὴν ταύτην πολιτικήν. Αἰσθανόμενος τὰς δυνάμεις αὐτοῦ ἀκαταλλήλους πρὸς πόλεμον κατὰ τοῦ βασιλέως τῆς Περσίας, ἐσκέφθη νὰ μεταβιβάσῃ τὸ πεδίον τοῦ πολέμου εἰς τὴν Ἑλλάδα, καθιστὰς οὕτω τὴν ἀνάκλησιν τοῦ Ἀγησιλάου ἀναγκαίαν· ἀπέστειλεν ὅθεν πρεσβευτὴν μετὰ πεντήκοντα ταλάντων, ἐντεταλμένον νὰ ἐνεργήσῃ τὴν ἐξέγερσιν τῶν κατοίκων ἑκάστης πόλεως καὶ δι' ὅρων ἐπιτύχῃ τὸν κατὰ τῶν Λακεδαιμονίων πόλεμον αὐτῶν 2).

ΣΥΝΕΝΤΕΥΞΙΣ ΤΟΥ ΑΓΗΣΙΛΑΟΥ ΜΕΤΑ ΤΟΥ ΦΑΡΝΑΒΑΖΟΥ.—Ἐν τοσούτῳ ὁ Ἀγησίλαος ἠκολούθει τὴν πρὸς τὴν Φρυγίαν πορείαν του, πυρὶ καὶ μαχαίρᾳ παραδίδων πᾶν τὸ προστυχόν,

---

(1) Histoire Grecque, 434, κεφ. 4 καὶ 5.

(2) Ξεν. Ἑλληνικά, Βιβλ. 3.

πορθήσας πολλὰς πόλεις καὶ ἄλλας διὰ συνθήκης καταλαβών.

Ἐν μέσῳ τῶν ἐπιτυχιῶν τούτων ὁ Πέρσης Σπιθριδάτης, ὅστις ἄλλοτε ἔσχε πολλὰς ἀφορμὰς δυσαρεσκείας κατὰ τοῦ Φαρναβάζου, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἐξασφαλίσαι αὐτῷ τὴν συμμαχίαν Κότυος, βασιλέως τῶν Παφλαγόνων. Μετά τινα καιρὸν συνέντευξίς τις ἔλαβε χώραν μεταξὺ Ἀγησιλάου καὶ Φαρναβάζου, ὅστις προσελθὼν εὗρε τὸν Ἀγησίλαον ὅστις μετὰ τῶν φίλων πρότερον ἐλθὼν εἰς τὸ χωρίον καὶ ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας καταβαλὼν ἑαυτὸν, ἐνταῦθα περιέμενε τὸν Φαρνάβαζον. «Ὁ δὲ ὡς ἐπῆλθεν, ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον κατεκλίνθη καὶ αὐτὸς, ὡς ἔτυχεν, ἐπὶ τῆς πόας χαμᾶζε, καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς· ἀσπασάμενοι δὲ ἀλλήλους ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν· ὁ δὲ Ἀγησίλαος, ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντες εἰς τὴν γῆν καὶ διαποροῦντας (ἀδικούμενον γὰρ ἐώρων τὸν Φαρνάβαζον) εἶπεν· «Ἀφ' ἧς δ' ἂν ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον ἢ δοῦλον λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν οὐδὲ ζηλωτόν ἐστιν.» Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. «Ἐγὼ γάρ, εἶπεν, ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατηγόν, ἕσομαι μεθ' ὑμῶν, ἐὰν δ' ἐμοὶ παραδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ἐκείνου.» 1) Ὁ Ἀγησίλαος, εὐχαριστηθεὶς ἐκ τῶν ὑποσχέσεων τούτων, ὑπεσχέθη νὰ ἐξέλθῃ τῆς Φρυγίας ὅσον τὸ δυνατὸν τάχιον καὶ νὰ μὴ πολεμήσῃ κατ' αὐτοῦ, ἐνόσῳ δὲν ἤθελε ἔχει ἕτερον ἐχθρὸν νὰ καταβάλῃ.

Ο ΑΓΗΣΙΛΑΟΣ ΜΕΛΕΤΑ ΝΑ ΜΕΤΑΒΗ ΕΙΣ ΤΗΝ ΑΝΩ

---

(1) Πλουτ. Ἀγησίλαος. κεφ. 12.

ΑΣΙΑΝ. — Τηρήσας τὴν ὑπόσχεσίν του, ἐκ τῆς Φρυγίας ἀπῆλθεν εἰς τὰ πεδία τῶν Θηβῶν. Ἡ Σπάρτη, ἐφιεμένη νὰ δώσῃ ἐνότητά τινα εἰς τὰς ἐνεργείας αὐτοῦ, ὑποβάλλει τῇ ἡγεμονίᾳ αὐτοῦ τὸν ἐξ 120 τριήρεων συγκείμενον στόλον, πολυαρίθμου στρατοῦ προσελθόντος αὐτῷ. Τότε μελετᾷ νὰ μεταβῇ εἰς τὴν Ἄνω Ἀσίαν ὅσον τὸ δυνατὸν τάχιστα, ἀλλ' ὁ χρυσὸς τοῦ Τιθραύστου ἐπέφερε τὸν ἐπιδιωκόμενον σκοπόν. Συμμαχία συνήφθη κατὰ τῆς Σπάρτης, διαψεύσασα τὰς λαμπρὰς αὐτοῦ ταύτας ἐλπίδας.» 1)

ΑΝΑΚΛΗΣΙΣ ΤΟΥ ΑΓΗΣΙΛΑΟΥ. (384). — Οἱ Λακεδαιμόνιοι, ὁρῶντες τὰς μεγίστας τῶν κατὰ τὴν Ἑλλάδα πόλεων ἀφ' ἑαυτὰς συνισταμένας, μετεκαλέσαντο τὸν Ἀγησίλαον μετὰ τῆς παρ' αὐτῷ δυνάμεως· ἡ εἴδησις αὕτη καιρίως ἐλύπησε τὸν Ἀγησίλαον, ὁρῶντα ματαιουμένας τόσας ἐλπίδας καὶ τοσαύτην δόξαν. Οὐχ ἧττον προσκαλεσάμενος τοὺς συμμάχους διεκοίνωσεν αὐτοῖς τὴν διαταγὴν τῆς Σπάρτης εἰπὼν αὐτοῖς ὅτι ὀφείλει νὰ δράμῃ πρὸς σωτηρίαν τῆς πατρίδος καὶ ὑποσχεθεὶς αὐτοῖς νὰ ἐπιστρέψῃ, ἅμα τακτοποιουμένων τῶν ἐν Ἑλλάδι πραγμάτων, πρὸς πραγμάτωσιν τοῦ ποθουμένου αὐτῶν. Πάντες διετέθησαν νὰ ἀκολουθήσωσιν αὐτόν· ἀλλά, πρὸ τῆς ἀναχωρήσεώς του, ὁ Ἀγησίλαος ἐνεκατέστησεν ἁρμοστὴν τῆς πόλεως τὸν Εὔξεινον, ἀφήσας αὐτῷ καὶ 4 χιλ. ἀνδρῶν πρὸς ἄμυναν τῆς χώρας. 2)

Ο ΚΟΝΩΝ ΣΥΝΕΝΩΘΕΙΣ ΜΕΤΑ ΤΟΥ ΦΑΡΝΑΒΑΖΟΥ ΚΕΡΔΙΖΕΙ ΤΗΝ ΕΝ ΚΝΙΔΩ ΜΑΧΗΝ. — «Κόνων δὲ ὁ Ἀθηναῖος καὶ Φαρνάβαζος ἀφηγοῦντο μὲν τοῦ βασιλικοῦ στόλου, διέτριβον δὲ περὶ Λώρυμα τῆς Χερρονήσου, τριήρεις ἔχοντες πλείους τῶν ἐνενήκοντα. Πυθόμενοι δὲ ἐν Κνίδῳ τὸ ναυτικὸν τῶν πολεμίων εἶναι, τὰ πρὸς ναυμαχίαν παρεσκευάζοντο. Πείσανδρος δ' ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἐξέπλευσεν ἐκ τῆς Κνίδου τριήρεσιν ὀγδοήκοντα πέντε, καὶ κατηνέχθη πρὸς Φύσκον τῆς Χερρονήσου. Ἐκεῖθεν δ' ἐκπλεύσας περιέπεσε τῷ στόλῳ τοῦ βασιλέως, καὶ ταῖς

---

(1) Ξενοφ. Ἑλλ. βιβλ. 4 κεφ. 1 § 41.
(2) Ξενοφ. Ἑλλ βιβλ. 4 κεφ. 2 § 1—5.

μὲν προπλεούσαις ναυσὶ συμβαλὼν προετέρει, τῶν δὲ Περσῶν ἅμα ταῖς τριήρεσιν ἀθρόαις παραβοηθησάντων, ἐπειδὴ πάντες οἱ σύμμαχοι πρὸς τὴν γῆν ἔφυγον, τὴν ἰδίαν ναῦν ἐπέστρεψεν, αἰσχρὸν εἶναι νομίσας καὶ τῆς Σπάρτης ἀνάξιον τὸ φυγεῖν ἀγεννῶς· ἀγωνισάμενος δὲ λαμπρῶς καὶ πολλοὺς τῶν πολεμίων ἀνελὼν, τὸ τελευταῖον ἀξίως τῆς πατρίδος ἀνηρέθη μαχόμενος. Οἱ δὲ περὶ τὸν Κόνωνα μέχρι τῆς γῆς καταδιώξαντες τοὺς Λακεδαιμονίους πεντήκοντα μὲν τριήρεων ἐκυρίευσαν, τῶν δ' ἀνδρῶν οἱ πλεῖστοι ἐκκολυμβήσαντες κατὰ γῆν ἔφυγον, ἑάλωσαν δὲ περὶ πεντακοσίους· αἱ δὲ λοιπαὶ τριήρεις εἰς Κνίδον διεσώθησαν.» 1)

Ο ΚΟΝΩΝ ΕΞΑΚΟΛΟΥΘΕΙ ΤΑΣ ΕΠΙΤΥΧΙΑΣ ΑΥΤΟΥ.— «Φαρνάβαζος δὲ καὶ Κόνων μετὰ τὴν ναυμαχίαν ἀνήχθησαν ἁπάσαις ταῖς ναυσὶν ἐπὶ τοὺς τῶν Λακεδαιμονίων συμμάχους· καὶ πρῶτον μὲν Κῴους ἀπέστησαν, εἶτα Νισυρίους καὶ Τηΐους· μετὰ δὲ ταῦτα Χῖοι τὴν φρουρὰν ἐκβαλόντες προσέθεντο τοῖς περὶ Κόνωνα· παραπλησίως δὲ μετέβαλον Μιτυληναῖοι καὶ Ἐφέσιοι καὶ Ἐρυθραῖοι· τοιαύτη τῆς μεταστάσεως σπουδή τις εἰς τὰς πόλεις ἐνέπεσεν, ὧν αἱ μὲν ἐκβαλοῦσαι τὰς φρουρὰς τῶν Λακεδαιμονίων τὴν ἐλευθερίαν διεφύλαττον, αἱ δὲ τοῖς περὶ Κόνωνα προσετίθεντο. Καὶ Λακεδαιμόνιοι μὲν ἀπὸ τούτου τοῦ χρόνου τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέβαλον, οἱ δὲ περὶ τὸν Κόνωνα σὺν παντὶ τῷ στόλῳ κρίναντες πλεῖν ἐπὶ τὴν Ἀττικὴν ἀνέζευξαν, καὶ τὰς Κυκλάδας νήσους προσαγαγόμενοι κατέπλευσαν ἐπὶ Κύθηρα τὴν νῆσον. Εὐθὺς δὲ ταύτης ἐξ ἐφόδου κυριεύσαντες τοὺς μὲν Κυθηρίους ὑποσπόνδους ἐξέπεμψαν εἰς τὴν Λακωνικήν, αὐτοὶ δὲ καταλιπόντες τῆς πόλεως τὴν ἱκανὴν φρουρὰν ἔπλεον ἐπὶ Κορίνθου. Ἐκεῖ δὲ καταπλεύσαντες τοῖς συνέδροις διελέχθησαν περὶ ὧν ἤθελον, καὶ συμμαχίαν ποιησάμενοι τούτοις μὲν χρήματα κατέλιπον, αὐτοὶ δὲ εἰς τὴν Ἀσίαν ἐξέπλευσαν.» 2)

Ο ΚΟΝΩΝ ΣΥΛΛΑΜΒΑΝΕΤΑΙ ΥΠΟ ΤΟΥ ΤΙΡΙΒΑΖΟΥ (393). — «Κατὰ τὰς ἀρχὰς τοῦ ἐπιόντος ἔτους Κόνων, τοῦ βασι-

(1) Διόδ. Σικελ. βιβλ. 14, 83.
(2) Διοδ. Σικελ. βιβλ. 14, 84.

λικοῦ στόλου τὴν ἡγεμονίαν ἔχων, ὀγδοήκοντα τριήρεσι καταπλεύσας εἰς τὸν Πειραιέα τοῖς πολίταις ὑπέσχετο τὸν περίβολον τῆς πόλεως ἀνοικοδομήσειν· τοῦ γὰρ Πειραιέως τὰ τείχη καὶ τὰ μακρὰ σκέλη καθῄρητο κατὰ τὰς Λακεδαιμονίων συνθήκας, ὅτε κατεπονήθησαν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ. Ὁ δ᾽ οὖν Κόνων μισθωσάμενος πλῆθος τεχνιτῶν, καὶ τὸν ἐκ τῶν πληρωμάτων ὄχλον εἰς ὑπηρεσίαν παραδούς, ταχέως τὸ πλεῖστον μέρος τοῦ τείχους ἀνῳκοδόμησε· καὶ γὰρ Θηβαῖοι πεντακοσίους τεχνίτας καὶ λιθοτόμους ἀπέστειλαν, καί τινες ἄλλαι τῶν πόλεων παρεβοήθησαν.

Τιρίβαζος δὲ ὁ τῶν κατὰ τὴν Ἀσίαν πεζικῶν δυνάμεων ἀφηγούμενος ἐφθόνει ταῖς τοῦ Κόνωνος εὐπραξίαις, καὶ πρόφασιν μὲν λαβὼν ὅτι ταῖς βασιλικαῖς δυνάμεσι τὰς πόλεις Ἀθηναίοις καπακτᾶται, προαγαγόμενος δ᾽ αὐτὸν εἰς Σάρδεις, συνέλαβε καὶ δὴ εἰς φυλακὴν κατέθετο» 1).

Μετὰ τὴν τοιαύτην ποδοπάτησιν τοῦ διεθνοῦς δικαίου μετέβη παρὰ τῷ βασιλεῖ τῶν Περσῶν ἵνα πληροφορήσῃ αὐτῷ ὅτι οἱ Λακεδαιμόνιοι συγκατετίθεντο νὰ συνάψωσι τοιαύτην εἰρήνην οἵαν πρὸ πολλοῦ ἐπεζήτει ὁ βασιλεὺς καὶ ἀναγγείλῃ αὐτῷ τὴν κράτησιν τοῦ Κόνωνος ὡς ὑπὲρ τῶν συμφερόντων τῆς πατρίδος του καταναλίσκοντος τὰς βασιλικὰς δυνάμεις ἐπὶ βλάβῃ τῶν συμφερόντων τοῦ μεγάλου βασιλέως.

ΗΤΤΑ ΚΑΙ ΘΑΝΑΤΟΣ ΤΟΥ ΘΙΒΡΩΝΟΣ (392). — «Τοῦ Τιριβάζου ἀφικομένου εἰς Σοῦσα, Ἀρταξέρξης μὲν Στρούθαν στρατηγὸν καταστήσας ἔπεμψεν ἐπὶ θάλατταν μετὰ δυνάμεως Λακεδαιμονίοις πολεμήσοντα, Σπαρτιᾶται δὲ τὴν παρουσίαν αὐτοῦ πυθόμενοι Θίβρωνα στρατηγὸν εἰς τὴν Ἀσίαν ἐξέπεμψαν, ὃς κατελάβετο χωρίον Ἴονδα καὶ Κόρησσον, ὄρος ὑψηλόν, τῆς Ἐφέσου ἀπέχον σταδίους τεσσαράκοντα· οὗτος μὲν οὖν ὀκτακισχιλίους ἔχων στρατιώτας σὺν τοῖς κατὰ τὴν Ἀσίαν ἀθροισθεῖσιν ἐπῄει τὴν τοῦ βασιλέως χώραν φθείρων, Στρούθας δὲ σὺν ἵππῳ τε βαρβαρικῇ πολλῇ καὶ στρατιώταις ὁπλίταις μὲν πεντακισχιλίοις ψιλοῖς δὲ πλείοσι δισμυρίων οὐ μακρὰν τῶν Λακεδαιμονίων κατεστρατοπέδευσε·

(1) Διοδ. Σικελ. βιβλ. 14. 85.

τέλος δὲ τοῦ Θίβρωνος μετὰ μέρους τῆς δυνάμεως ἐξελθόντος καὶ πολλὴν περιβαλομένου λείαν, ἐπελθὼν ὁ Στρούθας τόν τε Θίβρωνα μαχόμενον ἀνεῖλε, καὶ τῶν στρατιωτῶν τοὺς μὲν πλείστους ἀπέκτεινε, τοὺς δ' ἐζώγρησεν· ὀλίγοι δ' εἰς τὸ Κνιδίνιον φρούριον διεσώθησαν» 1).

ΣΤΑΣΙΣ ΕΝ ΡΟΔΩ.—Η ΣΠΑΡΤΗ ΠΕΜΠΕΙ ΑΥΤΗ ΕΠΙΚΟΥΡΙΑΣ (391).—«Τούτων δὲ τὴν ἀρχὴν παρειληφότων οἱ λακωνίζοντες τῶν Ροδίων, ἐπαναστάντες τῷ δήμῳ, τοὺς τὰ τῶν Ἀθηναίων φρονοῦντας ἐξέβαλον ἐκ τῆς πόλεως· συνδραμόντων δ' αὐτῶν ἐν τοῖς ὅπλοις, καὶ πειρομένων ἀντέχεσθαι τῶν πραγμάτων, ἐπεκράτησαν οἱ Λακεδαιμονίοις συμμαχοῦντες, καὶ πολλοὺς μὲν ἐφόνευσαν, τοὺς δὲ διαφυγόντας ἐξεκήρυξαν· εὐθὺς δὲ καὶ πρέσβεις ἀπέστειλαν εἰς Λακεδαίμονα περὶ βοηθείας, εὐλαβούμενοι μή τινες τῶν πολιτῶν νεωτερίσωσι. Λακεδαιμόνιοι δ' αὐτοῖς ἀπέστειλαν ἑπτὰ τριήρεις καὶ τοὺς ἀφηγησομένους τῶν πραγμάτων τρεῖς ἄνδρας, Εὐδόκιμον, Φιλόδικον καὶ Διφρίδαν. Οὗτοι δὲ πρῶτον εἰς Σάμον κομισθέντες ἀπέστησαν τὴν πόλιν Ἀθηναίων, ἔπειτα καταπλεύσαντες εἰς Ρόδον τῶν ἐνταῦθα πραγμάτων εἶχον τὴν ἐπιμέλειαν» 2).

Η ΣΠΑΡΤΗ ΑΘΡΟΙΖΕΙ ΝΕΟΝ ΝΑΥΤΙΚΟΝ.—«Οἱ Λακεδαιμόνιοι, προχωρούντων αὐτοῖς τῶν πραγμάτων, ἔγνωσαν ἀντέχεσθαι τῆς θαλάττης, καὶ πάλιν ἐκ τοῦ κατ' ὀλίγον ἐκράτουν τῶν συμμάχων ἀθροίσαντες ναυτικόν· οὗτοι μὲν οὖν εἴς τε Σάμον καὶ Κνίδον καὶ Ῥόδον κατέπλευσαν, καὶ πανταχόθεν ναῦς τε καὶ τοὺς ἀρίστους κατέγραφον ἐπιβάτας καὶ ἐξήρτυον πολυτελῶς τριήρεις εἴκοσιν ἑπτά.» 3)

ΑΠΟΣΤΑΣΙΑ ΕΥΑΓΟΡΑ.—Ἀφ' ἑτέρου, ὁ Εὐαγόρας ὅστις ἐβασίλευεν ἐν Σαλαμῖνι, πόλει μεγίστῃ καὶ δυνατωτάτῃ τῶν ἐν Κύπρῳ καὶ ὅστις εἴτε διὰ τῶν παραινέσεων, εἴτε διὰ τῆς συνδρομῆς αὐτῷ, μεγάλως συνετέλεσεν εἰς τὴν ἐν Κνίδῳ νίκην τῶν Ἑλλήνων, μεγίστου φόβου ἀντικείμενον ἐγένετο τῷ Ἀρταξέρξῃ· «ὅτι δὲ πρὸς

(1) Διόδ. Σικελ. βιβλ. 14. 99.
(2) Διόδ. Σικελ. βιβλ. 14. 97.
(3) Διόδ. Σικελ. βιβλ. 14, 97.

Εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησεν· φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα· μέγιστον δὲ τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος· ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους, ἠσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην· ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὠργιζόμενος ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς ἀλλὰ πολὺ περὶ μειζόνων ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν· οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν.» 1)

Οὑτωσὶν ἐπαπειλούμενος καὶ ταῖς ἰδίαις αὐτοῦ μόνον δυνάμεσι στηριζόμενος, ὁ Εὐαγόρας προκατήρξατο. Ἄλλως τε βλέπων τὸν βασιλέα τῶν Περσῶν μαχόμενον ἐν ἀσθενείᾳ πότε μὲν κατὰ τῶν Ἀθηναίων καὶ πότε κατὰ τῶν Λακεδαιμονίων, ἐπεχείρησεν οὐ μόνον τῆς ἀνεξαρτησίας ἀπολαῦσαι, ἀλλὰ καὶ τὴν νῆσον σφετερίσασθαι. Ἐπὶ πλέον προὐτίθετο νὰ φέρῃ ἰσχυρὸν ἀντιπερισπασμὸν εἰς τὸν κατὰ τῶν Λακεδαιμονίων πόλεμον τοῦ Ἀρταξέρξου καὶ συνδράμῃ ἀποτελεσματικῶς τοὺς Ἀθηναίους οἵτινες πρὸς ἀμοιβὴν τῶν ἐκδουλεύσεων αὐτοῦ ἔστησαν τὸ ἄγαλμα αὐτοῦ πλησίον τοῦ Κόνωνος ἐν τῷ βωμῷ τοῦ σωτῆρος Διός. 2) «Τῶν δὲ πόλεων ἃς μὲν βίᾳ χειρωσάμενος ἃς δὲ πειθοῖ προσλαβόμενος, τῶν μὲν ἄλλων πόλεων ταχὺ τὴν ἡγεμονίαν παρέλαβεν, Ἀμαθούσιοι δὲ καὶ Σόλιοι καὶ Κιτιεῖς ἀντέχοντες τῷ πολέμῳ πρέσβεις ἀπέστειλαν πρὸς Ἀρ-

(1) Ἰσοκρ. Εὐαγόρας, 22.

(2) Ὁμ. Ὁμ. 21.

ταξέρξην τὸν Περσῶν βασιλέα περὶ βοηθείας, καὶ τοῦ μὲν Εὐαγόρου κατηγόρουν ὅτι τὸν Ἄγυριν βασιλέα σύμμαχον ὄντα Περσῶν ἀνεῖλε, τὴν δὲ νῆσον ὡμολόγησαν αὐτῷ συγκατακτήσασθαι. Ὁ δὲ βασιλεὺς οὐ βουλόμενος ἅμα μὲν τὸν Εὐαγόραν προσκόπτειν ἐπὶ πλεῖον, ἅμα δὲ διανοούμενος τὴν Κύπρον εὐφυῶς διακειμένην καὶ ναυτικὴν δύναμιν δύνασθαι μεγάλην ἔχειν, ἢ δυνήσεται προπολεμεῖν τῆς Ἀσίας, ἔκρινε συμμαχεῖν, καὶ τούτους μὲν ἐξέπεμψεν, αὐτὸς δὲ πρὸς μὲν τὰς ἐπιθαλαττίους πόλεις καὶ τοὺς ἀφηγουμένους τῶν πόλεων σατράπας ἔπεμψεν ἐπιστολὰς ναυπηγεῖσθαι τριήρεις καὶ τὰ πρὸς τὸν στόλον χρήσιμα ὄντα κατὰ σπουδὴν παρασκευάζεσθαι, Ἑκατόμνῳ δὲ τῷ Καρίας δυνάστῃ προσέταξε πολεμεῖν τῷ Εὐαγόρᾳ· αὐτὸς δὲ τὰς ἐν ταῖς ἄνω σατραπείαις πόλεις ἐπιπορευόμενος μεγάλαις δυνάμεσι διαβαίνει εἰς τὴν Κύπρον.» 1)

ΑΙ ΑΘΗΝΑΙ ΒΟΗΘΟΥΣΙ ΤΟΝ ΕΥΑΓΟΡΑΝ, ΑΛΛ' ΑΝΕΠΙΤΥΧΩΣ. — Αἱ Ἀθῆναι, πληροφορηθεῖσαι τὰ γεγονότα ταῦτα καὶ ὑπείκουσαι οὐχὶ τῇ φρονήσει, ἀλλ' εἰς γενναιόφρονα αἰσθήματα, πολλὴν αὑταῖς περιποιοῦντα τιμήν, ἐξέπεμψαν ἐπικουρίας πρὸς τὸν Εὐαγόραν. Ὁ Τελευτίας, ἀντικαταστήσας τὸν Ἔκδικον ἐν τῇ ἡγεμονίᾳ τοῦ κατὰ τῶν Ροδίων ἐκπεμφθέντος στόλου, συναντήσας δύω τριήρεις ὑπὸ τοῦ Πολυκράτους εἰς τὸν βασιλέα τῆς Κύπρου ἀποστελομένας κατέλαβεν αὐτάς. Ἀμφότερα τὰ μέρη, λέγει ὁ Ξενοφῶν, ἐνήργησαν ἐναντίον τῶν ἰδίων αὐτῶν συμφερόντων· διότι οἱ μὲν Ἀθηναῖοι, σύμμαχοι τοῦ βασιλέως τῶν Περσῶν, ἔπεμπον ἐπικουρίας εἰς τὸν ἐχθρὸν αὐτοῦ Εὐαγόραν, οἱ δὲ Λακεδαιμόνιοι, πολεμοῦντες πρὸς τὸν Ἀρταξέρξην, ἐξουδετέρουν τὰς ναῦς, αἵτινες προσήρχοντο ὅπως βοηθήσωσιν ἐχθρόν τινα τοῦ Ἀρταξέρξου.

ΚΑΤΟΡΘΩΜΑΤΑ ΤΟΥ ΘΡΑΣΥΒΟΥΛΟΥ. — ΘΑΝΑΤΟΣ ΑΥΤΟΥ. — Συνεπείᾳ τούτων ὁ Τελευτίας καταπλεύσας εἰς Ρόδον, ἔνθα ἀνέμενον αὐτὸν οἱ ὁμόφρονές του, ἥρατο θριάμβου ὑπὲρ τῆς Σπάρτης. Οἱ Ἀθηναῖοι, κατανοοῦντες ὅτι αἱ ἐπιτυχίαι αὗται ἀπέδιδον πάλιν τῇ Λακεδαίμονι τὴν ἀρχαίαν αὐτῆς θαλασσοκρατίαν, ἀπέστειλον κατ' αὐτοῦ στόλον ἐκ τεσσαράκοντα τριήρεων ὑπὸ τὸν Θρα-

(2) Διόδ. Σικελ. βιβλ. 14, 98.

σύβουλον, εἰς ὃν ὠφείλετο ἡ ἔξωσις τῶν τριάκοντα τυράννων καὶ ἡ ἐγκαθίδρυσις τῆς ἐλευθερίας. Ὁ στρατηγὸς οὗτος δὲν ἔπλευσεν ἀμέσως εἰς Ρόδον, καθόσον δυσχερὴς ἐφαίνετο αὐτῷ ἡ τιμωρία τῶν συμμάχων τῶν Λακεδαιμονίων, ἐγκεκλεισμένων εἰς τὰ τείχη καὶ ὑποστηριζομένων διὰ τῆς παρουσίας τοῦ Τελευτία καὶ καθόσον, ἐν ἀποτυχίᾳ, ἤθελε περιπέσει εἰς τὴν δυσμένειαν τῶν Ἀθηναίων, δυναμένων νὰ καταστρέψωσιν αὐτόν. Ἔπλευσεν ὅθεν πρὸς τὸν Ἑλλήσποντον ἔνθα διατρίβων ἐποίησε συμμάχους τοὺς βασιλεῖς τῶν Θρᾳκῶν Σεύθην καὶ Ὀδρύσην (Μήδικον, κατὰ τὸν Διόδωρον τὸν Σικελιώτην) καὶ ἐκεῖθεν εἰς Βυζάντιον, ἔνθα τὴν δημοκρατίαν καθιδρύσατο καὶ διέταξε τὴν εἴσπραξιν δεκάτου ἐκ τῶν προερχομένων ἐξ Εὐξείνου Πόντου ἐμπορευμάτων· συνεμάχησε δὲ μετὰ τῆς Χαλκηδόνος καὶ κατέλαβε τὴν Λέσβον.

«Ἐκ δὲ Λέσβου κομιζόμενος μετὰ τοῦ στόλου πρὸς Ἄσπενδον, ὥρμησε τὰς τριήρεις εἰς τὸν Εὐρυμέδοντα ποταμόν, χρήματα δ' εἰληφότος αὐτοῦ παρὰ τῶν Ἀσπενδίων ὅμως τινὲς τῶν στρατιωτῶν ἐδήωσαν τὴν χώραν. Γενομένης δὲ νυκτὸς οἱ μὲν Ἀσπένδιοι χαλεπῶς ἐνεγκόντες ἐπὶ τοῖς ἀδικήμασιν ἐπέθεντο τοῖς Ἀθηναίοις καὶ τόν τε Θρασύβουλον καί τινας τῶν ἄλλων ἀνεῖλον· οἱ δὲ τῶν Ἀθηναίων τριήραρχοι περιδεεῖς γενόμενοι, καὶ ταχὺ πληρώσαντες τὰς ναῦς, εἰς Ρόδον ἐξέπλευσαν. Ἀφεστηκυίας δὲ τῆς πόλεως, καὶ τῶν φυγάδων φρούριόν τι κατειληφότων, μετὰ τούτων διεπολέμουν πρὸς τοὺς κατὰ τὴν πόλιν» 1).

ΕΙΡΗΝΗ ΑΝΤΑΛΚΙΔΟΥ. — Οἱ Ἀθηναῖοι, πληροφορηθέντες τὸν θάνατον τοῦ Θρασυβούλου, ἐξέπεμψαν τὸν στρατηγὸν Ἀγγύριον, ὃν μετ' οὐ πολὺ διεδέχθη ὁ Ἰφικράτης ὅστις, τῇ συνδρομῇ τοῦ Φαρναβάζου, ἀπεκατέστησε τὰ τῶν Ἀθηναίων πράγματα, ἅτινα ἐπ' ὀλίγον εἶχον διαταραχθῇ ὑπὸ τοῦ Ἀναξιβίου, ἁρμοστοῦ τῆς Ἀβύδου. Οὕτωσὶν ὁ πόλεμος ἐξηκολούθησεν ἐπὶ τρία ἔτη χωρὶς αἱ Ἀθῆναι νὰ δυνηθῶσι νὰ προχωρήσωσιν. Ἡ Σπάρτη τοὐναντίον, τῇ συνδρομῇ τῶν Συρακουσίων, τοῦ Τιριβάζου, οὗ τὴν ἐμπιστοσύνην ὁ Ἀνταλκίδας κατώρθωσε νὰ κερδήσῃ κατὰ τὴν πρώτην εἰς Σοῦσα

(1) Διόδ. Σικελ. 14, 99.

ἀποστολήν του, καὶ τοῦ Ἀριοβαρνάζου, ὅστις πάντοτε διετέλει φίλος αὐτοῦ, κατώρθωσε νὰ συλλέξῃ στόλον ἐξ ὀγδοήκοντα νηῶν, ὑπὸ τὴν ἡγεμονίαν τοῦ Ἀνταλκίδα τεθέντα. Ἀλλ' ὁ ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ ταὐτοχρόνως ἐξακολουθῶν πόλεμος ἐξήντλη αὐτήν. Ὅπως ἀφεθῇ κυρία πρὸς ὁλοσχερῆ ὑποδούλωσιν τῆς Ἑλλάδος, ἐθυσίασε τὰς ἐν Ἀσίᾳ πόλεις καὶ ἐξέπεμψε τὸν Ἀνταλκίδαν εἰς Σοῦσα πρὸς διαπραγμάτευσιν συνθήκης εἰρήνης. Ὁ Τιρίβαζος προσεκάλεσε πάντας τοὺς ἐμπολέμους νὰ προσέλθωσι καὶ ἀποφανθῶσιν ὁριστικῶς ἐὰν ἀπεδέχοντο τοὺς ὑπὸ τοῦ μεγάλου βασιλέως προτεινομένους ὅρους. Πανταχόθεν προσῆλθον πρεσβευταί, πρὸς οὓς ἀνεκοινώθησαν αἱ διαταγαὶ τοῦ μεγάλου βασιλέως, αἵτινες ἀνέφερον ὅτι ὁ βασιλεὺς Ἀρταξέρξης δίκαιον νομίζει ὅπως αἱ μὲν πόλεις τῆς Ἀσίας, αἱ Κλαζομεναὶ καὶ ἡ Κύπρος ἐξακολουθήσωσι διατελοῦσαι ὑπ' αὐτόν, αἱ δὲ λοιπαὶ πόλεις, μικραί τε καὶ μεγάλαι, ἐλευθερωθῶσιν, ἐκτὸς τῆς Λήμνου, Ἴμβρου καὶ Σκύρου, αἵτινες θὰ ἀνήκωσιν, ὡς καὶ ἄλλοτε, εἰς τοὺς Ἀθηναίους, καὶ ὅτι θέλει πολεμήσει κατὰ παντὸς ἀρνουμένου αὐτός τε καὶ οἱ παραδεχόμενοι τοὺς ὅρους τούτους, μεταχειριζόμενος τὰς ναῦς καὶ τοὺς θησαυροὺς αὐτοῦ πάντας.

Ἅπασαι σχεδὸν αἱ Ἑλληνίδες πόλεις ἐδέχθησαν τοὺς μυσαροὺς τούτους ὅρους, οὓς ἡ Σπάρτη δὲν ἠσχύνθη νὰ ἐκλιπαρήσῃ καὶ οἵτινες ἠμαύρουν ἐσαεὶ τὴν δόξαν τοῦ Μαραθῶνος, τῶν Θερμοπυλῶν, τῆς Σαλαμῖνος καὶ τῶν Πλαταιῶν. Ἀναμφισβητήτως μεγίστη διαφορὰ ὑπάρχει μεταξὺ τοῦ ὕφους τῆς συνθήκης Ἀρταξέρξου τοῦ Γ'. καὶ τῆς συνθήκης τῆς ἐπιβληθείσης παρὰ τοῦ Κίμωνος Ἀρταξέρξῃ τῷ Α'. Καὶ ἐν τοσούτῳ ἀπὸ τοῦ 499, ἐν τῇ μονομαχίᾳ τῆς Ἑλλάδος κατὰ τῆς Περσίας, ἡ Περσία πάντοτε ὑπεχώρει· ἡ ἐπιστροφὴ τῶν Μυρίων καὶ ἡ ἐκστρατεία τοῦ Ἀγησιλάου ἀπέδειξαν τὸ σαθρὸν τοῦ περσικοῦ τούτου κολοσσοῦ. Ἡ συνθήκη τοῦ Ἀνταλκίδου, μεθ' ὅλα τὰ ὠφελήματα ἅτινα ἐξησφάλιζεν αὐτῇ, οὐδόλως θὰ δυνηθῇ νὰ σταματήσῃ αὐτὴν ἐπὶ τοῦ πρηνοῦς τῆς πρὸς τὴν καταστροφὴν ἀγούσης.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ.

Ἀπὸ τῆς εἰρήνης τοῦ Ἀνταλκίδου μέχρι τῆς ἀποστασίας τῶν παρακτίων πόλεων (387—361).

ΠΟΛΕΜΟΣ ΑΡΤΑΞΕΡΞΟΥ ΚΑΤΑ ΕΥΑΓΟΡΑ.—Ὁ Ἀρταξέρξης, ὁ τῶν Περσῶν βασιλεύς, ἥσυχος ἐκ μέρους τῆς Ἑλλάδος, διενοήθη ἅμα τῷ ἑπομένῳ ἔτει (386) νὰ τιμωρήσῃ τὴν τοῦ Εὐαγόρα στάσιν. «Ἐπὶ πολὺν δὲ χρόνον ἀσχοληθεὶς περὶ τὰς εἰς τὸν πόλεμον παρασκευὰς συνεστήσατο δύναμιν ναυτικήν τε καὶ πεζικὴν μεγάλην· τὸ μὲν γὰρ πεζὸν στράτευμα μυριάδων ἦν τριάκοντα σὺν ἱππεῦσι, τριήρεις δὲ κατεσκεύασε πλείους τῶν τριακοσίων, στρατηγοὺς δ᾽ ἀπέδειξε τῆς πεζῆς δυνάμεως Ὀρόντην κηδεστήν, τῆς δὲ ναυτικῆς Τιρίβαζον, ἄνδρα μεγάλης ἀποδοχῆς τυγχάνοντα παρὰ τοῖς Πέρσαις· οὗτοι δὲ παραλαβόντες τὰς δυνάμεις ἐν Φωκαίᾳ καὶ Κύμῃ κατήντησαν εἰς Κιλικίαν, καὶ περαιωθέντες εἰς Κύπρον ἐνεργῶς διῴκουν τὸν πόλεμον.» 1)

ΜΕΣΑ ΑΜΥΝΗΣ ΤΟΥ ΕΥΑΓΟΡΑ.—«Ὁ δ᾽ Εὐαγόρας πρὸς μὲν τὸν Ἄκοριν τῶν Αἰγυπτίων βασιλέα, πολέμιον ὄντα Περσῶν, συμμαχίαν ἐποιήσατο καὶ δύναμιν ἀξιόλογον παρ᾽ αὐτοῦ προσελάβετο, παρ᾽ Ἑκατόμνου δὲ τοῦ Καρίας δυνάστου, λάθρᾳ συμπράττοντος αὐτῷ, χρημάτων ἔλαβε πλῆθος εἰς διατροφὴν ξενικῶν δυνάμεων· ὁμοίως δὲ καὶ τοὺς ἄλλους τοὺς ἀλλοτρίως ἔχοντας πρὸς Πέρσας, τοὺς μὲν λαθραίως, τοὺς δὲ καὶ φανερῶς ἐπεσπάσατο κοινωνήσοντας τοῦ Περσικοῦ πολέμου· ἐκυρίευε δὲ κατὰ μὲν τὴν Κύπρον τῶν πόλεων σχεδόν τι τὸ πλέον, κατὰ δὲ τὴν Φοινίκην Τύρου καί τινων ἑτέρων· εἶχε δὲ τριήρεις ἐνενήκοντα, καὶ τούτων ὑπῆρχον Τύριαι μὲν εἴκοσι, Κύπριαι δ᾽ ἑβδομήκοντα, στρατιώτας δ᾽ ἰδίους μὲν ἑξακισχιλίους, παρὰ δὲ τῶν συμμάχων πολλῷ τούτων πλείους· πρὸς δὲ τούτοις μισθοφόρους πολλοὺς ἐξενολόγει, ἔχων χρημάτων δαψίλειαν· ἔπεμψε δ᾽ αὐτῷ καὶ ὁ τῶν Ἀράβων βασιλεὺς στρατιώτας

---

(1) Διόδ. Σικελ. 15, 2.

οὐκ ὀλίγους καὶ ἄλλοι τινες οἱ ἐν ὑποψίαις ὄντες τῷ τῶν Περσῶν βασιλεῖ.» 1)

ΑΡΧΕΤΑΙ ΤΟΥ ΠΟΛΕΜΟΥ. — «Οὗτος μὲν οὖν τοσαύτας ἀφορμὰς ἔχων τεθαρρηκότως συγκατέβαινεν εἰς τὸν πόλεμον· καὶ πρῶτον μὲν ληστρικὰς ἔχων ναῦς οὐκ ὀλίγας ἐφήδρευσε ταῖς κομιζομέναις τῶν πολεμίων ἀγοραῖς, καὶ τὰς μὲν αὐτῶν διέφθειρεν ἐν θαλάττῃ, τὰς δὲ διεκώλυσεν, ἐνίας δὲ ἀφείλετο· διὸ καὶ τῶν ἐμπόρων μὴ τολμώντων εἰς τὴν Κύπρον παρακομίζειν σῖτον, μεγάλων δὲ δυνάμεων ἠθροισμένων εἰς τὴν νῆσον, ταχὺ σιτοδεία κατέσχε τὸ τῶν Περσῶν στρατόπεδον· τῆς δ' ἀπορίας γενομένης εἰς στάσιν, οἱ μισθοφόροι τῶν Περσῶν ἐπὶ τοὺς ἡγεμόνας ὁρμήσαντες καί τινας ἀνελόντες ταραχῆς καὶ στάσεως ἐνέπλησαν τὸ στρατόπεδον· μόλις δ' οἱ στρατηγοὶ τῶν Περσῶν καὶ ὁ τῆς ναυτικῆς δυνάμεως ἡγούμενος, ὀνομαζόμενος δὲ Γαώ, κατέπαυσαν τὴν στάσιν· πλεύσαντες δὲ παντὶ τῷ στόλῳ, καὶ σίτου πλῆθος ἐκ τῆς Κιλικίας παρακομίσαντες, πολλὴν παρέσχον τῆς τρυφῆς τὴν δαψίλειαν· τῷ δ' Εὐαγόρᾳ πλῆθος σίτου ἱκανὸν ὁ βασιλεὺς Ἄκορις ἐκ τῆς Αἰγύπτου παρεκόμισε, καὶ χρήματα καὶ τὴν ἄλλην παρασκευὴν ἱκανὴν ἐξέπεμψεν· ὁ δ' Εὐαγόρας ὁρῶν ἑαυτὸν πολὺ λειπόμενον τῇ ναυτικῇ δυνάμει, ἑξήκοντα μὲν ναῦς ἄλλας προσεπλήρωσε, πεντήκοντα δὲ παρὰ Ἀκόριδος ἐξ Αἰγύπτου μετεπέμψατο, ὥστε τὰς πάσας τριήρεις ἔχειν διακοσίας· ταύτας δὲ κοσμήσας πρὸς ναυμαχίαν καταπληκτικῶς, καὶ συνεχεῖς διαπείρας καὶ γυμνασίας ποιούμενος, ἡτοιμάζετο πρὸς ναυμαχίαν.» 1)

ΝΑΥΜΑΧΙΑ. — ΝΙΚΑΙ ΠΕΡΣΩΝ. — «Διὸ καὶ τοῦ βασιλικοῦ στόλου παραπλέοντος εἰς Κίτιον ἀπροσδοκήτως ἐπιπλεύσας ταῖς ναυσὶ συντεταγμέναις πολλὰ τῶν Περσῶν ἐπλεονέκτει· ἐπέβαλε γὰρ συντεταγμέναις ναυσὶν ἐπὶ ἀσυντάκτους, καὶ προβεβουλευμένοις ἀνδράσι πρὸς ἀπροσδοκήτους ἀγωνιζόμενος εὐθὺς ἐν τῇ πρώτῃ συστάσει τὴν νίκην προκατεσκεύασεν· ἀθρόαις γὰρ ταῖς τριήρεσιν ἐπιπλεύσας ἐπὶ διεσπαρμένας καὶ τεταραγμένας ἃς μὲν διέφθειρεν, ἃς δ'

(1) Διόδ. Σικελ. βιβλ. 15, 2.
(1) Διόδ. Σικελ. βιβλ. 15, 3.

ἐχειροῦτο· ὅμως δὲ τοῦ τε ναυάρχου τῶν Περσῶν Γαὼ καὶ τῶν ἄλλων ἡγεμόνων γεναίως ὑποστάντων, ἐγένετο ναυμαχία καρτερὰ, καθ' ἣν ὁ Εὐαγόρας τὸ μὲν πρῶτον ὑπερεῖχεν, ὕστερον δὲ τοῦ Γαὼ μετὰ τοῦ βάρους ἐπενεχθέντος καὶ γενναίως ἀγωνισαμένου συνέβη φυγεῖν τοὺς περὶ τὸν Εὐαγόραν καὶ πολλὰς τῶν τριήρων ἀποβαλεῖν.» 1)

ΠΟΛΙΟΡΚΙΑ ΤΗΣ ΣΑΛΑΜΙΝΟΣ. — «Οἱ δὲ Πέρσαι τῇ ναυμαχίᾳ νικήσαντες εἰς Κίτιον πόλιν ἀμφοτέρας τὰς δυνάμεις ἤθροισαν, ἐκ ταύτης δ' ὁρμώμενος πολιορκεῖν συνεστήσαντο πρὸς τῇ Σαλαμῖνι, καὶ τὴν πόλιν ἐπόρθουν κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν· καὶ Τιρίβαζος μὲν μετὰ τὴν ναυμαχίαν διαβὰς εἰς Κιλικίαν, κἀκεῖθεν παρευθεὶς πρὸς τὸν βασιλέα, τήν τε νίκην ἀπήγγειλε καὶ δισχίλια τάλαντα πρὸς τὸν πόλεμον ἀπεκόμησεν. Εὐαγόρας δὲ πρὸ μὲν τῆς ναυμαχίας παρὰ θάλατταν πεζῇ συμβαλὼν μέρει τῆς πεζικῆς δυνάμεως προετέρησε καὶ πρὸς τὸ μέλλον εὐθαρσὴς καθειστήκει, τῇ δὲ ναυμαχίᾳ πταίσας, καὶ συγκλεισθεὶς εἰς πολιορκίαν, ἀθύμως εἶχεν· ὅμως δὲ κρίνας ἔχεσθαι τοῦ πολέμου, Πνυταγόραν 2) μὲν τὸν υἱὸν ἀπέλιπεν ἡγεμόνα τῶν ὅλων ποιήσας ἐν τῇ Κύπρῳ, αὐτὸς δ' ἀναλαβὼν δέκα τριήρεις νυκτὸς ἔλαθε τοὺς πολεμίους ἐκπλεύσας ἐκ τῆς Σαλαμῖνος, κομισθεὶς δ' εἰς τὴν Αἴγυπτον, καὶ συντυχὼν τῷ βασιλεῖ, παρακάλεσεν αὐτὸν ἐρρωμένως ἀντέχεσθαι τοῦ πολέμου καὶ κοινὸν ἡγεῖσθαι τὸν πρὸς τοὺς Πέρσας πόλεμον».

Ο ΕΥΑΓΟΡΑΣ ΣΥΝΘΗΚΟΛΟΓΕΙ ΜΕΤΑ ΤΩΝ ΠΕΡΣΩΝ. — Τὸ ἑπόμενον ἔτος (385) ὁ Εὐαγόρας, ὁ τῶν Σαλαμινίων βασιλεὺς, «ἦκεν εἰς Κύπρον ἐξ Αἰγύπτου, κομίζων χρήματα παρὰ Ἀκόριδος τοῦ βασιλέως Αἰγύπτου ἐλάττονα τῶν προσδοκηθέντων, καταλαβὼν δὲ τὴν Σαλαμῖνα πολιορκουμένην ἐνεργῶς, καὶ ὑπὸ τῶν συμμάχων καταλειπόμενος, ἠναγκάσθη πρεσβεῦσαι περὶ συλλύσεως·

---

(1) Διόδ. Σικελ. βιβλ. 15, 3.

(2) Ὁ συγγραφεὺς ἀποκαλεῖ αὐτὸν Πρωταγόραν ἀναφέρων ἐν ὑποσημειώσει ὅτι ὁ μὲν Ἰσοκράτης ἐν τῷ «Εὐαγόρᾳ» ἀποκαλεῖ αὐτὸν οὕτως, ὁ δὲ Διόδωρος ὁ Σικελιώτης Πυθαγόραν. Ἀλλὰ δυστυχῶς ὁ συγγραφεὺς ἀπατᾶται καθόσον ὅ τε Διόδ. ὁ Σικελ. καὶ ὁ Ἰσοκράτης ἀποκαλοῦσιν αὐτὸν Πνυταγόραν καὶ οὐχὶ Πυθαγόραν ἢ Πρωταγόραν. Σ. τοῦ Μ.

ὁ δὲ Τιρίβαζος τῶν ὅλων ἔχων τὴν ἡγεμονίαν ἔφησε συγχωρῆσαι τὴν σύλλυσιν, ἐὰν Εὐαγόρας ἐκχωρήσῃ πασῶν τῶν κατὰ τὴν Κύπρον πόλεων, αὐτῆς δὲ μόνης τῆς Σαλαμῖνος βασιλεύων τελῇ τῶν Περσῶν βασιλεῖ κατ' ἐνιαυτὸν φόρον ὡρισμένον καὶ ποιῇ τὸ προσταττόμενον ὡς δοῦλος δεσπότῃ. Ὁ δ' Εὐαγόρας, καί περ βαρείας οὔσης τῆς αἱρέσεως, τὰ μὲν ἄλλα πάντα συνεχώρει, τὸ δ' ὡς δοῦλον δεσπότῃ ποιεῖν τὸ προσταττόμενον ἀντέλεγεν· ἔφη δὲ δεῖν αὐτὸν ὡς βασιλέα βασιλεῖ ὑποτετάχθαι.» 1)

Ο ΤΙΡΙΒΑΖΟΣ ΚΑΤΗΓΟΡΕΙΤΑΙ ΕΠΙ ΠΡΟΔΟΣΙΑ. — « Οὐ συγχωροῦντος δὲ τοῦ Τιριβάζου, Ὀρόντης ὁ ἕτερος στρατηγός, φθονῶν τῇ δόξῃ τοῦ Τιριβάζου, γράμματα λάθρᾳ πρὸς τὸν Ἀρταξέρξην ἔπεμψε κατὰ τοῦ Τιριβάζου, κατηγόρει δ' αὐτοῦ πρῶτον μὲν ὅτι δυνάμενος ἑλεῖν τὴν Σαλαμῖνα τοῦτο μὲν οὐ συντελεῖ πρεσβείας δὲ προσδέχεται παρ' αὐτοῦ καὶ συλλαλεῖ περὶ κοινοπραγίας, ὁμοίως δὲ καὶ πρὸς Λακεδαιμονίους συντίθεται συμμαχίαν ἰδίαν, φίλος ὢν αὐτῶν, ὃς καὶ Πυθῶδέ τινας ἔπεμψεν ἐρησομένους τὸν θεὸν περὶ τῆς ἐπαναστάσεως, τὸ δὲ μέγιστον, ὅτι τοὺς ἡγεμόνας τῶν δυνάμεων ἰδίους ταῖς εὐνοίαις κατασκευάζεται, τιμαῖς καὶ δωρεαῖς, ἔτι δ' ἐπαγγελίαις προσαγόμενος· ὁ δὲ βασιλεὺς ἀναγνοὺς τὴν ἐπιστολὴν καὶ πιστεύσας ταῖς διαβολαῖς, ἔγραψε τῷ Ὀρόντῃ συλλαβεῖν τὸν Τιρίβαζον καὶ πρὸς ἑαυτὸν ἀποστεῖλαι· οὗ πράξαντος τὸ προσταχθέν, ὁ μὲν Τιρίβαζος ἀναχθεὶς εἰς τὸν βασιλέα καὶ κρίσεως τυχεῖν ἀξιώσας κατὰ μὲν τὸ παρὸν παρεδόθη εἰς φυλακήν, μετὰ δὲ ταῦτα τοῦ βασιλέως ἔχοντος πόλεμον πρὸς Καδουσίους καὶ τὴν κρίσιν ἀναβαλλομένου, διείλκετο τὰ περὶ τοῦ δικαστηρίου.» 2)

Ο ΟΡΟΝΤΗΣ ΑΝΤΙΚΑΘΙΣΤΗΣΙΝ ΑΥΤΟΝ. — ΤΕΛΟΣ ΤΟΥ ΠΟΛΕΜΟΥ. — « Ὁ δ' Ὀρόντης διαδεξάμενος τὴν ἡγεμονίαν τῶν ἐν τῇ Κύπρῳ δυνάμεων, καὶ τὸν Εὐαγόραν πάλιν τεθαρρηκότως ὁρῶν ὑπομένοντα τὴν πολιορκίαν, πρὸς δὲ τούτοις τῶν στρατιωτῶν χαλεπῶς ὑπομενόντων τὴν σύλληψιν τοῦ Τιριβάζου, καὶ διὰ τοῦτο ἀπει-

---

(1) Διόδ. Σικελ. βιβλ. 15, 8.
(2) Διόδ. Σικελ. βιβλ. 15, 8.

θούντων καὶ τὴν πολιορκίαν ἐγκαταλειπόντων, δείσας ὁ Ὀρόντης τὸ τῆς περιστάσεως παράλογον, ἐξέπεμψε πρὸς τὸν Εὐαγόραν τοὺς διαλεξομένους περὶ τῆς συλλύσεως καὶ κελεύσοντας συντίθεσθαι τὴν εἰρήνην ἐφ' οἷς ἐκεῖνος ἠξίου συντίθεσθαι πρὸς Τιρίβαζον· ὁ μὲν οὖν Εὐαγόρας παραδόξως ἐξοσιοῦται τὴν ἄλωσιν καὶ συνέθετο τὴν εἰρήνην ὥστε βασιλεύειν τῆς Σαλαμῖνος καὶ τὸν ὡρισμένον διδόναι φόρον κατ' ἐνιαυτὸν καὶ ὑπακούειν ὡς βασιλεὺς βασιλεῖ προστάττοντι. Ὁ μὲν οὖν Κυπριακὸς πόλεμος δεκαετὴς σχεδὸν γεγενημένος, καὶ τὸ πλέον τοῦ χρόνου περὶ παρασκευὰς ἀσχοληθείς, διετῆ χρόνον τὸν ἐπὶ πᾶσι συνεχῶς πολεμηθεὶς τοῦτον τὸν τρόπον κατελύθη.» 1)

ΑΠΟΣΤΑΣΙΑ ΤΟΥ ΓΑΩ. — «Ὁ δὲ τοῦ στόλου τὴν ναυαρχίαν ἔχων Γαώ, γεγαμηκὼς τοῦ Τιριβάζου τὴν θυγατέρα, περίφοβος ὢν μή ποτε συνεργεῖν δόξας τῷ Τιριβάζῳ περὶ τῆς ὑποθέσεως τύχῃ τιμωρίας ὑπὸ τοῦ βασιλέως, ἔγνω καινῇ πραγμάτων ἐπιβολῇ τὰ καθ' αὑτὸν ἀσφαλίζεσθαι. Εὐπορῶν δὲ χρημάτων καὶ στρατιωτῶν ἔτι δὲ τοὺς τριηράρχους ταῖς εὐνοίαις ἰδίους πεποιημένος, διέγνω τοῦ βασιλέως ἀφίστασθαι· εὐθὺς οὖν πρὸς μὲν Ἄκοριν τὸν βασιλέα τῶν Αἰγυπτίων διαπρεσβευσάμενος συμμαχίαν συνέθετο κατὰ τοῦ βασιλέως, πρὸς δὲ τοὺς Λακεδαιμονίους γράφων ἐπῆρε κατὰ τοῦ βασιλέως, καὶ χρημάτων πλῆθος ἐπηγγέλλετο δώσειν καὶ τὰς ἄλλας ἐπαγγελίας μεγάλως ἐποιεῖτο, ὑπισχνούμενος συμπράξειν αὐτοῖς τὰ κατὰ τὴν Ἑλλάδα καὶ τὴν ἡγεμονίαν αὐτοῖς τὴν πάτριον συγκατασκευάσειν. Οἱ δὲ Σπαρτιᾶται καὶ πάλαι μὲν διεγνώκεισαν ἀνακτᾶσθαι τὴν ἡγεμονίαν, τότε δὲ συνετάραττον ἤδη τὰς πόλεις καὶ πᾶσιν ὑπῆρχον φανεροὶ τὰς πόλεις καταδουλούμενοι· πρὸς δὲ τούτοις ἀδοξοῦντες ἐπὶ τῷ δοκεῖν ἐν τῇ πρὸς τὸν βασιλέα συνθέσει τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας ἐκδότους πεποιηκέναι, μετεμέλοντο τοῖς πεπραγμένοις καὶ πρόφασιν εὔλογον ἐζήτουν τοῦ πρὸς τὸν Ἀρταξέρξην πολέμου· διόπερ ἅσμενοι συνέθεντο πρὸς τὸν Γαὼ τὴν συμμαχίαν.» 2)

---

(1) Διόδ. Σικελ. βιβλ. 15, 9.
(2) Διόδ. Σικελ. βιβλ. 15 9.

Ο ΤΑΧΩΣ ΔΙΑΔΕΧΕΤΑΙ ΑΥΤΟΝ (383). — «Γαὼς ὁ ναυαρχήσας Περσῶν ἐν τῷ Κυπριακῷ πολέμῳ, ἀποστάτης ὢν τοῦ βασιλέως καὶ τοὺς τε Λακεδαιμονίους καὶ τὸν Αἰγυπτίων βασιλέα παρακεκληκὼς εἰς τὸν πρὸς Πέρσας πόλεμον, δολοφονηθεὶς ὑπὸ τινῶν οὐ συνετέλεσε τὴν προαίρεσιν. Μετὰ δὲ τὴν τούτου τελευτὴν Ταχὼς διαδεξάμενος τὰς τούτου πράξεις συνεστήσατο περὶ αὑτὸν δύναμιν, καὶ πόλιν ἔκτισε πλησίον τῆς θαλάσσης ἐπί τινος χρημνοῦ τὴν ὀνομαζομένην Λεύκην, ἔχουσαν ἱερὸν ἅγιον Ἀπόλλωνος. Μετ' ὀλίγον δὲ χρόνον αὐτοῦ τελευτήσαντος ἠμφισβήτησαν τῆς πόλεως ταύτης Κλαζομένιοι καὶ Κυμαῖοι· οἱ Κλαζομένιοι τεχνάζονταί τι πρὸς τὴν νίκην, γινόμενοι κύριοι τῆς Λεύκης.» 1)

Η ΣΠΑΡΤΗ ΑΠΟΣΚΙΡΤΑ ΤΟΥ ΕΝ ΑΣΙΑ ΠΟΛΕΜΟΥ. — «Τούτων δὲ πραχθέντων αἱ μὲν κατὰ τὴν Ἀσίαν ἐπαναστάσεις αὐτομάτως κατελύθησαν, Λακεδαιμόνιοι δὲ μετὰ τὸν τοῦ Γαὼ καὶ τοῦ Ταχὼ θάνατον τὰς μὲν κατὰ τὴν Ἀσίαν πράξεις ἀπέγνωσαν, τὰ δὲ κατὰ τὴν Ἑλλάδα συσκευασάμενοι, καὶ τῶν πόλεων, ἃς μὲν πειθοῖ προσαγόμενοι, ἃς δὲ διὰ τῆς τῶν φυγάδων καθόδου βίᾳ χειρούμενοι, φανερῶς ἤδη τὴν ἡγεμονίαν τῆς Ἑλλάδος εἰς ἑαυτοὺς μεθίστασαν παρὰ τὰς κοινὰς συνθήκας τὰς ἐπ' Ἀνταλκίδου γενομένας συνεπιλαβομένου τοῦ Περσῶν βασιλέως.» 2)

Ο ΑΡΤΑΞΕΡΞΗΣ ΔΙΑΤΙΘΕΤΑΙ ΠΡΟΣ ΠΟΛΕΜΟΝ ΚΑΤΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΑΙΓΥΠΤΟΥ (375). — «Ἐπὶ δὲ τούτων Ἀρταξέρξης ὁ τῶν Περσῶν βασιλεὺς μέλλων πολεμεῖν πρὸς Αἰγυπτίους καὶ σπεύδων ξενικὴν δύναμιν ἀξιόλογον συστήσασθαι, διέγνω συλλύσασθαι τοὺς κατὰ τὴν Ἑλλάδα πολέμους, οὕτω γὰρ μάλιστ' ἤλπιζε τοὺς Ἕλληνας ἀπολελυμένους τῶν οἰκείων πολέμων ἑτοιμοτέρους ἔσεσθαι πρὸς τὰς ξενολογίας. Διόπερ πρέσβεις ἐξέπεμψεν εἰς τὴν Ἑλλάδα τοὺς παρακαλέσοντας τὰς πόλεις κοινὴν τὴν εἰρήνην συνθέσθαι, τῶν δὲ Ἑλλήνων ἀσμένως προσδεξαμένων τοὺς λόγους διὰ τὸ κάμνειν τῇ συνεχείᾳ τῶν πολέμων συνέθεντο πάντες τὴν εἰ-

(1) Διόδ. Σικελ. βιβλ. 15, 18.
(2) Διόδ. Σικελ. βιβλ. 15, 19.

ρήνην, ὥστε πάσας τὰς πόλεις αὐτονόμους καὶ ἀφρουρήτους εἶναι.» 1)

ΠΟΛΕΜΟΣ ΑΡΤΑΞΕΡΞΟΥ ΚΑΤΑ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΑΙΓΥΠΤΟΥ (374). — «Ἀρταξέρξης ὁ βασιλεὺς ἐστράτευσεν ἐπ' Αἰγυπτίους ἀφεστηκότας ἀπὸ Περσῶν, ἡγοῦντο δὲ τῶν δυνάμεων Φαρνάβαζος μὲν τῶν βαρβαρικῶν, Ἰφικράτης δὲ τῶν μισθοφόρων ὄντων δισμυρίων» 2). Ἡ Μικρὰ Ἀσία προσέφερε καὶ αὐτὴ τὸ ἐπιβάλον αὐτῇ μέρος. Ὁ πόλεμος οὗτος ἐν ᾧ διεκρίνοντο οἱ μεγαλείτεροι στρατηγοὶ τῆς Ἑλλάδος, ὁ Ἰφικράτης, ὁ Χαβρίας καὶ ὁ Ἀγησίλαος αὐτὸς, δὲν ἔσχε τοῦ ποθουμένου ἀποτελέσματος. Ἡ Αἴγυπτος διετήρησε τὴν ἀνεξαρτησίαν αὐτῆς.

ΠΡΟΣΠΑΘΕΙΑ ΤΟΥ ΑΡΤΑΞΕΡΞΟΥ ΠΡΟΣ ΑΠΟΚΑΤΑΣΤΑΣΙΝ ΤΗΣ ΕΙΡΗΝΗΣ ΠΑΡΑ ΤΟΙΣ ΕΛΛΗΣΙ (372). — Ἐν τοσούτῳ ἀπὸ τῆς εἰρήνης τοῦ Ἀνταλκίδου ἡ Ἑλλὰς δὲν ἔπαυσε ταραττομένη δι' ἐμφυλίων πολέμων, ὁ δὲ Ξέρξης καὶ πάλιν ἀπεπειράθη νὰ συνάψῃ συνθήκην εἰρήνης μετὰ τῶν Ἑλλήνων ἀποστείλας πρὸς τοῦτο πρέσβεις εἰς Ἑλλάδα καὶ «παρακαλῶν διαλύσασθαι τοὺς ἐμφυλίους πολέμους καὶ συνθέσθαι τὴν κοινὴν εἰρήνην κατὰ τὰς ὁμολογίας, ἃς πρότερον ἦσαν πεποιημένοι, ἀλλ' ἡ ἀντίστασις τῶν Θηβαίων ἀρξαμένων νὰ πρωτεύωσιν ἐν Ἑλλάδι ἐπέφερε τὴν ἀποτυχίαν τῆς ἀποπείρας ταύτης· κατὰ τὸν Διόδωρον τὸν Σικελιώτην ἡ ἀπόπειρα αὕτη ἐπανελήφθη καὶ τὸ 359, ἀλλ' ἀνεπιτυχῶς. «Ὁ Ἀβυδινὸς Φιλίσκος ὑπ' Ἀρταξέρξου τοῦ βασιλέως ἀποσταλεὶς κατέπλευσεν ἐπὶ τὴν Ἑλλάδα παρακαλῶν τοὺς Ἕλληνας διαλύσασθαι μὲν τοὺς πολέμους, εἰρήνην δὲ κοινὴν συνθέσθαι· οἱ μὲν οὖν ἄλλοι πάντες ἀσμένως ὑπήκουσαν, Θηβαῖοι δὲ κατὰ τὴν ἰδίαν ὑπόστασιν ὅλην τὴν Βοιωτίαν ὑπὸ μίαν ἄγοντες συντέλειαν οὐ προσεδέχθησαν, ἀπογνωσθείσης δὲ τῆς κοινῆς εἰρήνης, ὁ Φιλίσκος καταλιπὼν τοῖς Λακεδαιμονίοις δισχιλίους ἐπιλέκτους μισθοφόρους, ἔχοντας τοὺς μισθούς, ἀπῆλθεν εἰς τὴν Ἀσίαν» 3).

---

(1) Διόδ. Σικελ. βιβλ. 15, 38.
(2) Διόδ. Σικελ. βιβλ. 15, 41.
(3) Διόδ. Σικελ. κεφ. 15, 70.

Ο ΠΕΛΟΠΙΔΑΣ ΕΝ ΤΗ ΑΥΛΗ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΠΕΡΣΙΑΣ. — Ἀλλὰ τὸ 367 οἱ Ἕλληνες αὐτοὶ προσέτρεξαν τῷ μεγάλῳ βασιλεῖ. Χάρις τοῖς ἥρωσι Ἐπαμεινώνδα καὶ Πελοπίδα, αἱ Θῆβαι ἰσχυραὶ καταστᾶσαι ἠθέλησαν νὰ ἀπαλλαγῶσι τῆς ἡγεμονίας, ἧς ἡ Σπάρτη λίαν μυσαρὰν χρῆσιν ἐποιήσατο. Ἀλλ' αἱ Θῆβαι δὲν ἦσαν παράκτιος πόλις, καὶ συνησθάνοντο ὅτι δὲν ἠδύναντο νὰ ἀποκτήσωσι διαρκῆ ὑπεροχὴν ἐπὶ τῆς Ἑλλάδος, ἐκ νήσων καὶ χερσονήσων ὅλως συγκειμένης ἄνευ ἰσχυροῦ ναυτικοῦ πρὸς συγκρότησιν τοῦ ὁποίου ἀπητοῦντο χρήματα, καὶ χρήματα τοῦ μεγάλου βασιλέως. Πρὸς τοῦτο ὅθεν ἀπεστάλη ὁ Πελοπίδας· ἀναμφισβητήτως εὐάρεστον θέαμα θὰ ἦτο τῷ μεγάλῳ βασιλεῖ ἡ ἐκλιπάρησις παρὰ τοὺς πόδας αὐτοῦ τῶν ἀντιπροσώπων τῆς Ἑλλάδος ἁπάσης, καθόσον ἡ Ἀρκαδία, ἡ Αἰολίς, ἡ Λακεδαίμων καὶ αἱ Ἀθῆναι εἶχον ὡσαύτως ἀποστείλει αὐτῷ πρεσβευτάς. Ἀπέναντι τῆς εἰδήσεως περὶ τῆς ἐν Λεύκτροις νίκης ὁ Ἀρταξέρξης ἐγαυρία βλέπων ταπεινούμενον ἐνώπιον αὐτοῦ ἄνδρα, ὃν ὁ πόλεμος κατέστησε τοσοῦτον μέγαν. Μόνον αὐτὸν ἤκουε καὶ οὐδὲν ἐξ ὅσων ἐζήτει ἀπεποιήθη. Εἰρήνη ἐπροτάνθη ἐν ὀνόματι τοῦ Ἀρταξέρξου, τῇ εἰσηγήσει τῶν Θηβαίων, ἀλλ' ἀπέτυχε καθόσον οἱ Θηβαῖοι ἀπήτησαν ὅπως ὁμώσωσιν αὐτοῖς τε καὶ τῷ μεγάλῳ βασιλεῖ. Οἱ Ἕλληνες ἠρνήθησαν διότι εἶχε παρέλθει ὁ καιρὸς ἐκεῖνος, καθ' ὃν ὁ βασιλεὺς τῆς Περσίας ἠδύνατο εἰσέτι νὰ ὁμιλῇ ὡς δεσπότης.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΠΕΜΠΤΟΝ.

Ἀποστασία τῶν σατραπῶν καὶ τῶν πόλεων τῆς Μικρᾶς Ἀσίας

ΑΠΟΣΤΑΣΙΑ ΤΩΝ ΠΑΡΑΚΤΙΩΝ ΠΟΛΕΩΝ. (361). — Ὡς εἴδομεν, τὸ βασίλειον τῶν Περσῶν ἐξησθένει ἡμέρᾳ τῇ ἡμέρᾳ ἐν ταῖς ἀδεξίοις χερσὶν Ἀρταξέρξου τοῦ Β΄, Ἐξ ἔτη μετὰ τὴν πρέσβευσιν τοῦ Πελοπίδα, οἱ λαοί, οἱ κατοικοῦντες τὰ παράκτια τῆς Ἀσίας, ἀπέστησαν ἀπὸ Περσῶν, καὶ οἱ σατράπαι ἢ στρατηγοί, οἱ διοι-

κοῦντες τὰ παράκτια ταῦτα, τῷ παραδείγματι τῶν κατοίκων ἑπόμενοι, ἐπαναστάντες πόλεμον ἐξήνεγκαν πρὸς Ἀρταξέρξην. «Ὁμοίως δὲ τούτοις καὶ Ταχὼς ὁ βασιλεὺς τῶν Αἰγυπτίων κρίνας πολεμεῖν τοῖς Πέρσαις, ναῦς τε κατεσκεύασε καὶ πεζικὰς δυνάμεις ἤθροισε, πολλοὺς δὲ ξενολογήσας ἐκ τῶν Ἑλληνίδων πόλεων ἔπεισε καὶ Λακεδαιμονίους συμμαχεῖν· οἱ γὰρ Σπαρτιᾶται πρὸς τὸν Ἀρταξέρξην ἀλλοτρίως εἶχον διὰ τὸ τοὺς Μεσσηνίους ὁμοίως τοῖς ἄλλοις Ἕλλησιν ὑπὸ τοῦ βασιλέως εἰς τὴν κοινὴν εἰρήνην κατατετάχθαι· ὑπὸ γὰρ τὸν αὐτὸν καιρὸν ἔδει πρός τε τὸν τῶν Αἰγυπτίων βασιλέα πολεμεῖν καὶ πρὸς τὰς κατὰ τὴν Ἀσίαν Ἑλληνίδας πόλεις καὶ Λακεδαιμονίους καὶ τοὺς τούτων συμμάχους σατράπας καὶ στρατηγούς, τοὺς ἄρχοντας μὲν τῶν παραθαλαττίων τόπων, συντεθειμένους δὲ κοινοπραγίαν.»

ΟΙ ΣΑΤΡΑΠΑΙ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ ΣΥΜΜΕΤΕΧΟΥΣΙ ΤΗΣ ΑΠΟΣΤΑΣΙΑΣ. — «Τούτων ἦσαν ἐπιφανέστατοι Ἀριοβαρνάζης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος τῆς τούτου βασιλείας κεκυριευκὼς ἦν, Μαύσωλος δὲ Καρίας δυναστεύων καὶ πολλῶν ἐρυμάτων καὶ πόλεων ἀξιολόγων κυριεύων, ὧν ἑστίαν καὶ μητρόπολιν συνέβαινεν εἶναι τὴν Ἁλικαρνασσόν, ἔχουσαν ἀκρόπολιν ἀξιόλογον καὶ τὰ τῆς Καρίας βασίλεια, πρὸς δὲ τούτοις Ὀρόντης μὲν τῆς Μυσίας σατράπης, Αὐτοφραδάτης δὲ Λυδίας· τῶν δ' ἐθνῶν Λύκιοί τε καὶ Πισίδαι καὶ Παμφύλιοι καὶ Κίλικες, ἔτι δὲ καὶ Σύριοι καὶ Φοίνικες καὶ σχεδὸν πάντες οἱ παραθαλάσσιοι. Τηλικαύτης δ' οὔσης ἀποστάσεως, τὸ μὲν ἥμισυ τῶν προσόδων τῷ βασιλεῖ κατελέλυτο, τὸ δὲ λοιπὸν οὐχ ἱκανὸν ἦν εἰς τὰς τοῦ πολέμου χρείας.»

Ο ΟΡΟΝΤΗΣ ΕΚΛΕΓΕΤΑΙ ΑΡΧΗΓΟΣ ΤΩΝ ΕΠΑΝΑΣΤΑΤΩΝ ΚΑΙ ΠΡΟΔΙΔΕΙ ΑΥΤΟΥΣ. — «Οἱ δ' ἀφεστηκότες τοῦ βασιλέως ἐπὶ τὴν τῶν ὅλων διοίκησιν εἵλοντο στρατηγὸν Ὀρόντην· οὗτος δὲ παραλαβὼν τὴν ἡγεμονίαν καὶ χρήματα πρὸς ξενολογίαν, δισμυρίοις στρατιώταις ἐνιαύσιον μισθόν, ἐγένετο προδότης τῶν πιστευσάντων· ὑπολαβὼν γὰρ παρὰ τοῦ βασιλέως δωρεῶν τε μεγάλων τεύξεσθαι καὶ τῆς παραθαλασσίου πάσης παραλήψεσθαι τὴν σατραπείαν ἐὰν ἐγχειρίσῃ τοῖς Πέρσαις τοὺς ἀφεστηκότας, πρῶτον

μὲν τοὺς κομίσαντας τὰ χρήματα συνέλαβε καὶ πρὸς Ἀρταξέρξην ἀπέστειλε, μετὰ δὲ ταῦτα πολλὰς τῶν πόλεων καὶ τοὺς ξενολογηθέντας στρατιώτας τοῖς ὑπὸ τοῦ βασιλέως πεμφθεῖσιν ἡγεμόσι „παρέδωκεν».

ΠΑΡΟΜΟΙΑ ΠΡΟΔΟΣΙΑ ΕΝ ΚΑΠΠΑΔΟΚΙΑ. — «Ὁμοίως δὲ τούτῳ καὶ κατὰ τὴν Καππαδοκίαν ἐγένετο προδοσία, καθ' ἣν ἴδιόν τι καὶ παράδοξον συνέβη γενέσθαι. Ἀρταβάζου γὰρ τοῦ βασιλέως στρατηγοῦ μετὰ πολλῆς δυνάμεως ἐμβαλόντος εἰς τὴν Καππαδοκίαν, ὁ μὲν ταύτης τῆς χώρας σατράπης Δατάμης ἀντεστρατοπέδευσεν αὐτῷ, πολλοὺς μὲν ἱππεῖς ἠθροικώς, δυσμυρίους δὲ πεζοὺς ἔχων αὐτῷ συστρατεύοντας· ὁ δὲ κηδεστὴς τοῦ Δατάμου τῶν ἱππέων ἀφηγούμενος, χάριν βουλόμενος καταθέσθαι καὶ τῆς ἰδίας σωτηρίας ἅμα προνοούμενος ἀποστὰς νυκτὸς μετὰ τῶν ἱππέων ἀπήλαυνε πρὸς τοὺς πολεμίους, συντεθειμένος πρὸς Ἀρτάβαζον τῇ πρότερον ἡμέρᾳ περὶ τῆς προδοσίας. Δατάμης δὲ παρακαλέσας τοὺς μισθοφόρους καὶ δωρεὰς ὑποσχόμενος ἀνέζευξε πρὸς τοὺς ἀφεστηκότας, καταλαβὼν δ' αὐτοὺς ἤδη συνάπτοντας τοῖς πολεμίοις, καὶ αὐτὸς προσπεσὼν ἅμα τοῖς περὶ τὸν Ἀρτάβαζον καὶ τοῖς ἱππεῦσιν, ἔκτεινε τοὺς εἰς χεῖρας ἐρχομένους· ὁ δὲ Ἀρτάβαζος τὸ μὲν πρῶτον τὸ ἀληθὲς ἀγνοῶν, ὑπολαβὼν δὲ τὸν ἀποστάτην τοῦ Δατάμου παλιμπροδοσίαν ποιεῖσθαι, παρήγγειλε τοῖς ἰδίοις κτείνειν τοὺς προσιόντας ἱππεῖς· ὁ δὲ Μιθροβαρζάνης ἐν μέσοις ἀπολειφθείς, καὶ τῶν μὲν ὡς προδότην ἀμυνομένων, τῶν δὲ ὡς παλιμπροδότην τιμωρουμένων ἐν ἀπορίᾳ καθεστήκει, τῆς δ' ἀπορίας οὐκ ἐώσης βουλεύσασθαι πρὸς ἀλκὴν ἐτρέπετο, καὶ πρὸς ἀμφοτέρους διαμαχόμενος πολὺν ἐποίει φόνον· τέλος δὲ πλειόνων ἢ μυρίων ἀναιρεθέντων, τοὺς ὑπολειφθέντας ὁ Δατάμης τρεψάμενος καὶ πολλοὺς φονεύσας ἀνεκαλέσατο τῇ σάλπιγγι τοὺς διώκοντας στρατιώτας.» 1)

Ο ΔΑΤΑΜΗΣ ΕΞΑΚΟΛΟΥΘΕΙ ΤΗΝ ΑΠΟΣΤΑΣΙΑΝ ΕΝ ΚΑΠΠΑΔΟΚΙΑ. — ΘΑΝΑΤΟΣ ΑΥΤΟΥ. — Ὁ Ἀρταξέρξης ἐγίνωσκε τὴν ἀξίαν τοιούτου ἀρχηγοῦ· ἤδη ὁ Δατάμης διεκρίθη ἐν τῷ

(1) Διόδ. Σικελ. βιβλ. 15, 90—92.

κατὰ τοῦ Καρδουσίων πολέμῳ διά τε τὴν καταστολὴν τῆς στάσεως τοῦ σατράπου τῆς Παφλαγονίας Θύου καὶ τῆς συλλήψεως τοῦ Ὑσπιδος, κυριεύσαντος τὴν Κατανίαν. Οὕτω μετὰ τὴν ἥτταν τοῦ Ἀρταβάνου ἐξαπέστειλε κατ' αὐτοῦ τὸν Αὐτοφραδάτην μετὰ στρατοῦ δισμυρίων ἱππέων, ἑκατὸν χιλιάδων καρδασίων (ἐθελοντῶν ἀτάκτων) τριῶν χιλιάδων πελταστῶν ἀτάκτων, ὀκτὼ χιλιάδων Καππαδόκων, δέκα χιλιάδων Ἀρμενίων, πέντε χιλιάδων Παφλαγόνων, δέκα χιλιάδων Φρυγῶν, πέντε χιλιάδων Λυδῶν, τριῶν χιλιάδων Ἀσπενδίων, δύο χιλιάδων Κιλίκων, δύο χιλιάδων Καρῶν, τριῶν χιλιάδων μισθοφόρων Ἑλλήνων καὶ πολυάριθμον στρατὸν ἐκ στρατιωτῶν ἐλαφρῶς ὡπλισμένων. Ὁ Δαδάμης διώκει τὸ εἰκοστὸν μόνον τοῦ στρατοῦ, ἀλλ' ἐκέκτητο ἀρετὰς καὶ ἐγνώριζε καλῶς τὴν χώραν, ἣν κατεῖχε. Καὶ πρῶτον μὲν διενοήθη νὰ προλάβῃ τὸν ἐχθρὸν κλείων αὐτῷ τὴν πάροδον διὰ τῆς καταλήψεως τῶν πυλῶν τῆς Κιλικίας, ἀλλὰ δὲν κατώρθωσε νὰ συναθροίσῃ περὶ αὐτὸν ταχέως τὸν στρατὸν αὐτοῦ. Ἐτοποθέτησε λοιπὸν τοσοῦτον καλῶς περὶ αὐτὸν τὸν ὀλίγον στρατὸν αὐτοῦ, ὥστε ὁ ἐχθρὸς δὲν ἠδύνατο νὰ προχωρήσῃ μηδὲ νὰ ἐκβιάσῃ τὴν διάβασιν χωρὶς νὰ προσβληθῇ καὶ ἀντιμετώπως καὶ κατὰ τὰ νῶτα. Μεθ' ὅλην τὴν ἀσφάλειαν τῆς θέσεως, ἣν κατεῖχεν ὁ Δατάμης, ὁ Αὐτοφραδάτης ἀπεφάσισε νὰ προσβάλῃ αὐτόν. Ὁ Δατάμης ἀντέστη, φονεύσας χιλιάδας ἐχθρῶν, ἀλλ' εἶτα, ἐγκαταλείψας τὴν θέσιν ταύτην, ἐξηκολούθησε νὰ καταβάλῃ τὸν ἐχθρὸν διότι προσέβαλεν αὐτὸν ὁπότε ἔφερε καὶ περιέκλειε αὐτὸν ἐν στενοπορίαις, ὡς κάλιστα γινώσκων τὰς θέσεις ἐκείνας. Ὁ Αὐτοφραδάτης, κατανοῶν ὅτι ἡ ἐξακολούθησις ἔσεται ἐπιζήμιος μᾶλλον τῷ κυρίῳ αὐτοῦ ἢ τῷ Δατάμῃ, προέτεινε τὴν εἰρήνην. Ὁ Δατάμης, καί τοι ἐθεώρει τὴν εἰρηνοποίησιν οὐχὶ τοσοῦτον ἀσφαλῆ δι' αὐτόν, ἤκουσε τὰς προτάσεις τοῦ Αὐτοφραδάτου καὶ ἀνήγγειλεν αὐτῷ ὅτι θέλει πέμψει πρεσβευτὰς πρὸς τὸν Ἀρταξέρξην. Τοῦ πολέμου λήξαντος, ὁ Αὐτοφραδάτης ἐπανέκαμψεν εἰς Φρυγίαν.

Ὁ Ἀρταξέρξης, βλέπων ὅτι δὲν ἠδύνατο νὰ καταβάλῃ τὸν Δατάμην διὰ τῶν ὅπλων, ἀπεφάσισε νὰ καταστρέψῃ αὐτὸν διὰ πλεκτάνης, ἣν ὁ Δατάμης ἀπέφυγε μέν, ἀλλὰ τέλος ὁ Μιθριδάτης, υἱὸς τοῦ Ἀριοβαρνάζη, προσποιηθεὶς ἀποστασίαν κατὰ τοῦ βασιλέως καὶ

καρνασσοῦ πολιορκίαν, τὴν Μίνδον οἰκείαν γενομένην. Καί τι ἐνεδίδοτο αὐτῷ ἐκ τῶν Μινδίων, εἰ λάθοι νυκτὸς προσελθών. Αὐτὸς μὲν δὴ κατὰ τὰ συγκείμενα ἀμφὶ μέσας νύκτας προσῆλθε τῷ τείχει· ὡς δὲ οὐδὲν ἐνεδίδοτο ἀπὸ τῶν ἔνδον, αἵ τε μηχαναὶ καὶ αἱ κλίμακες αὐτῷ οὐ παρῆσαν, οἷα δὴ οὐκ ἐπὶ πολιορκίαν σταλέντι, ἀλλ' ὡς ἐπὶ προδοσίᾳ ἐνδιδομένης τῆς πόλεως, προσήγαγε καὶ ὡς τῶν Μακεδόνων τὴν φάλαγγα, ὑπορύττειν κελεύσας τὸ τεῖχος. Καὶ ἕνα γε πύργον κατέβαλον οἱ Μακεδόνες· οὐ μέν τοι ἐγύμνωσέ γε τὸ τεῖχος πεσόν· καὶ οἱ ἐκ τῆς πόλεως ἅμα εὐρώστως ἀμυνόμενοι, καὶ ἐκ τῆς Ἁλικαρνασσοῦ ἤδη κατὰ θάλασσαν πολλοὶ παραβεβοηθηκότες, ἄπορον ἐποίησαν τῷ Ἀλεξάνδρῳ τὴν αὐτοσχέδιόν τι καὶ ἐξ ἐπιδρομῆς κατάληψιν τῆς Μίνδου. Οὕτω μὲν δὴ ἐπανέρχεται Ἀλέξανδρος, οὐδὲν πράξας οὗ ἕνεκα ὡρμήθη· καὶ τῇ πολιορκίᾳ τῆς Ἁλικαρνασσοῦ αὖθις προσεῖχε» 1)

Ἡ ἀφήγησις, ἣν ὁ Ἀρριανὸς διέσωσεν ἡμῖν τῆς ἀξιομνημονεύτου ταύτης πολιορκίας, παρουσιάζει πολὺ τὸ ἐνδιαφέρον οὗ ἕνεκα προετιμήσαμεν αὐτὴν ἀπὸ τῆς τοῦ Διοδώρου τοῦ Σικελιώτου, καθόσον ὁ Ἀρριανὸς ἠρύσθη αὐτὴν ἐκ τῶν ἀρίστων πηγῶν καὶ ἰδίᾳ ἔτι τῆς διηγήσεως αὐτόπτου μάρτυρος, τοῦ Πτολεμαίου ἢ τοῦ Ἀριστοβούλου, οἵτινες οὐδόλως ἐγκατέλειπον τὸν Ἀλέξανδρον καθ' ὅλην τὴν εἰς Ἀσίαν ἐκστρατείαν αὐτοῦ καὶ οἵτινες, ὡς στρατιωτικοὶ ἄνδρες, ἐξέθεσαν τὰ γεγονότα μετὰ πλείονος ἀκριβείας, ἐνῷ ἡ ἀφήγησις Διοδώρου τοῦ Σικελιώτου, καίτοι δραματικωτέρα καὶ ἐκτενεστέρα, εἶνε ὅμως ἧττον ἀληθὴς καὶ ἀκριβὴς τῆς τοῦ Ἀρριανοῦ.

«Καὶ τὰ πρῶτα μὲν τὴν τάφρον, ἣ πρὸ τῆς πόλεως ὀρώρυκτο αὐτοῖς, πλάτος μὲν τριάκοντα μάλιστα πήχεων, τὸ δὲ βάθος ἐς πεντεκαίδεκα, ἐχώννυε τοῦ ῥᾳδίαν εἶναι τὴν προσαγωγὴν τῶν τε πύργων, ἀφ' ὧν ἔμελλε τοὺς ἀκροβολισμοὺς ἐς τοὺς προμαχομένους τοῦ τείχους ποιεῖσθαι, καὶ τῶν ἄλλων μηχανῶν, αἷς κατασείειν ἐπενόει τὸ τεῖχος. Καὶ ἥ τε τάφρος αὐτῷ ἐχώσθη οὐ χαλεπῶς, καὶ οἱ πύργοι προσήγοντο ἤδη. Οἱ δὲ ἐκ τῆς Ἁλικαρνασσοῦ νυκτὸς ἐκδραμόντες, ὡς ἐμπρῆσαι τούς τε πύργους καὶ ὅσαι ἄλλαι μηχαναὶ

(1) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 1, 20.

προσηγμέναι ἢ οὐ πόρρω τοῦ προσάγεσθαι ἦσαν, ὑπὸ τῶν φυλάκων τε τῶν Μακεδόνων, καὶ ὅσοι ἐν αὐτῷ τῷ ἔργῳ ἐξεγερθέντες παρεβοήθησαν οὐ χαλεπῶς κατεκλείσθησαν εἰς τὰ τείχη αὖθις· καὶ ἀπέθανον αὐτῶν ἄλλοι τε ἐς ἑβδομήκοντα καὶ ἑκατόν, καὶ ὁ Νεοπτόλεμος ὁ Ἀρραβαίου τοῦ Ἀμύντου ἀδελφός, τῶν παρὰ Δαρείου αὐτομολησάντων. Τῶν δ' Ἀλεξάνδρου στρατιωτῶν ἀπέθανον μὲν ἑκκαίδεκα, τραυματίαι δὲ ἐγένοντο ἐς τριακοσίους· ὅτι ἐν νυκτὶ γενομένης τῆς ἐκδρομῆς, ἀφυλακτότεροι ἐς τὸ τιτρώσκεσθαι ἦσαν.

«Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον, δύο τῶν Μακεδόνων ὁπλῖται, ἐκ τῆς ὕστερον Περδίκκου τάξεως, ξυσκηνοῦντές τε καὶ ἅμα ξυμπίνοντες, αὐτόν τε καὶ τὰ αὐτοῦ ἑκάτερος ἐπὶ μέγα τῷ λόγῳ ἦγεν. Ἔνθα δὴ φιλοτιμία τι ἐσπίπτει αὐτοῖς (καί τι καὶ ὁ οἶνος ὑπεθέρμαινεν) ὥστε ὁπλισάμενοι αὐτοὶ ἐπὶ σφῶν προσβάλλουσι τῷ τείχει κατὰ τὴν ἄκραν τὴν πρὸς Μύλασσα μάλιστα τετραμμένην, ὡς ἐπιδειξιν τῆς σφῶν ῥώμης μᾶλλόν τι ἢ πρὸς πολεμίους μετὰ κινδύνου τὸν ἀγῶνα ποιούμενοι. Καὶ τούτους κατιδόντες τινὲς τῶν ἐκ τῆς πόλεως δύο τε ὄντας, καὶ οὐ ξὺν λογισμῷ προσφερομένους τῷ τείχει ἐπεκθέουσιν. Οἱ δὲ τοὺς μὲν ἐγγὺς πελάσαντας ἀπέκτειναν, πρὸς δὲ τοὺς ἀφεστηκότας ἠκροβολίζοντο, πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι· ὅτι ἐξ ὑπερδεξίου τοὺς πολεμίους ἡ ἐπιδρομή τε καὶ ὁ ἀκροβολισμὸς ἐγίγνετο. Καὶ ἐν τούτῳ ἀντεκθέουσί τινες καὶ ἄλλοι τῶν τοῦ Περδίκκου στρατιωτῶν καὶ ἀπὸ τῆς Ἁλικαρνασσοῦ ἄλλοι· καὶ ξυμπίπτει μάχη κρατερὰ πρὸς τῷ τείχει. Καὶ κατακλείονται αὖθις τῶν Μακεδόνων εἴσω τῶν πυλῶν οἱ ἐπεκδραμόντες. Παρ' ὀλίγον δὲ ἦλθε καὶ ἁλῶναι ἡ πόλις. Τά τε γὰρ τείχη ἐν τῷ τότε οὐκ ἐν ἀκριβῇ φυλακῇ ἦν καὶ δύο πύργοι καὶ μεσοπόργιον εἰς ἔδαφος καταπεπτωκότα οὐ χαλεπὴν ἂν τῷ στρατεύματι, εἰ ἅπαν προσήψατο τοῦ ἔργου, τὴν ἐς τὸ τεῖχος πάροδον παρέσχε. Καὶ ὁ τρίτος πύργος κατασεσεισμένος, οὐδὲ οὗτος χαλεπῶς ἀνερρίφθη ὑπορωσόμενος. Ἀλλὰ ἔφθησαν γὰρ ἀντὶ τοῦ πεπτωκότος τείχους, ἔσωθεν πλίνθινον μηνοειδὲς ἀντοικοδομησάμενοι οὐ χαλεπῶς ὑπὸ πολυχειρίας. Καὶ τούτῳ ἐπῆγε τὰς μηχανὰς Ἀλέξανδρος καὶ ἐκδρομὴ αὖθις γίνεται τῶν ἐκ τῆς πόλεως ἐπὶ τῷ ἐμπρῆσαι τὰς μηχανάς. Καὶ μέρος μέν τι τῶν πλησίον τοῦ τείχους

ψερρῶν, καὶ ἑνὸς τῶν πύργων τῶν ξυλίνων κατεκαύθη, τὰ δὲ ἄλλα διεφύλαξαν οἱ περὶ Φιλώταν τε καὶ Ἑλλάνικον, οἷς ἡ φυλακὴ αὐτῶν ἐπετέτραπτο· ὡς δὲ καὶ Ἀλέξανδρος ἐπεφάνη ἐν τῇ ἐκδρομῇ, τάς τε δᾷδας ὅσας ἔχοντες ἐκβεβοηθήκεσαν ἀφέντες, καὶ τὰ ὅπλα οἱ πολλοὶ αὐτῶν ῥίψαντες, εἴσω τοῦ τείχους ἔφευγον. Καί τι τά γε πρῶτα τῇ φύσει τε τοῦ χωρίου ὑπερδεξίου ὄντος ἐπεκράτουν, καὶ οὐ κατὰ μέτωπον μόνον ἠκροβολίζοντο ἐς τοὺς προμαχομένους τῶν μηχανῶν, ἀλλὰ καὶ ἐκ τῶν πύργων, οἱ δὴ ἑκατέρωθεν τοῦ ἐρηριμμένου τείχους αὐτοὶ ὑπολελειμμένοι ἐκ πλαγίου τε καὶ μονονοῦ κατὰ νώτου παρεῖχον ἀκροβολίζεσθαι ἐς τοὺς τῷ ἀντῳκοδομημένῳ τείχει προσάγοντας.

«Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐπάγοντος αὖθις Ἀλεξάνδρου τὰς μηχανὰς τῷ πλινθίνῳ τῷ ἐντὸς τείχει, καὶ αὐτῷ ἐφεστηκότος τῷ ἔργῳ ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως· τῶν μὲν κατὰ τὸ ἐρηριμμένον τεῖχος ἡ αὐτὸς Ἀλέξανδρος ἐπετέτακτο· τῶν δὲ κατὰ τὸ τρίπυλον, ἢ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς Μακεδόσιν ἦν. Καὶ οἱ μὲν δᾷδάς τε ταῖς μηχαναῖς ἐνέβαλλον, καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ἐπὶ μέγα προσκαλέσασθαι. Τῶν δ' ἀμφ' Ἀλέξανδρον αὐτῶν τε ἐμβαλόντων ἐς αὐτοὺς ἐρρωμένως καὶ ταῖς μηχαναῖς ἀπὸ τῶν πύργων λίθων τε μεγάλων ἀφιεμένων, καὶ βελῶν ἐξακοντιζομένων, οὐ χαλεπῶς ἀπεστράφησάν τε καὶ ἔφυγον εἰς τὴν πόλιν· καὶ φόνος ταύτῃ οὐκ ὀλίγος ἐγένετο, ὅσῳ πλείονές τε καὶ ξὺν μείζονι τῇ τόλμῃ ἐξέδραμον. Οἱ μὲν γάρ, εἰς χεῖρας ἐλθόντες τοῖς Μακεδόσιν, ἀπέθανον· οἱ δέ, ἀμφὶ τῷ τείχει τῷ καταπεπτωκότι, στενωτέρας τε ἢ κατὰ τὸ πλῆθος αὐτῶν τῆς παρόδου οὔσης, καὶ τῶν κατερηριμμένων τοῦ τείχους χαλεπὴν τὴν ὑπέρβασιν αὐτοῖς παρεχόντων. Τοῖς δὲ κατὰ τὸ τρίπυλον ἐκδραμοῦσιν ἀπήντα Πτολεμαῖος ὁ σωματοφύλαξ ὁ βασιλικός, τήν τε Ἀδδαίου καὶ Τιμάνδρου ἅμα οἱ τάξιν ἄγων καὶ ἔστιν οὓς τῶν φιλῶν. Καὶ οὗτοι οὐδὲ αὐτοὶ χαλεπῶς ἐτρέψαντο τοὺς ἐκ τῆς πόλεως. Ξυνέβη δὲ καὶ τούτοις ἐν τῇ ἀποχωρήσει κατὰ στενὴν γέφυραν τὴν ἐπὶ τῆς τάφρου πεποιημένην φεύγουσι, τήν τε γέφυραν αὐτὴν ὑπὸ πλήθους ξυντρίψαι καὶ πολλοὺς αὐτῶν ἐς τὴν τάφρον ἐμπεσόντας, τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας διαφθαρῆναι, τοὺς δὲ καὶ ἄνωθεν ὑπὸ τῶν Μακεδόνων

βαλλομένους. Ὁ πλεῖστος δὲ φόνος περὶ ταῖς πύλαις αὐταῖς ξυνέβη· ὅτι ἡ ξύγκλεισις τῶν πυλῶν, φοβερά τε καὶ πρὸ τοῦ καιροῦ γενομένη δεισάντων μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν ἐχόμενοι αὐτῶν οἱ Μακεδόνες, πολλοὺς καὶ τῶν φίλων τῆς εἰσόδου ἀπέκλεισεν, οὓς πρὸς αὐτοῖς τοῖς τείχεσιν οἱ Μακεδόνες διέφθειραν. Καὶ παρ' ὀλίγον ἦκεν ἁλῶναι ἡ πόλις, εἰ μὴ Ἀλέξανδρος ἀνεκαλέσατο τὸ στράτευμα, ἔτι διασῶσαι ἐθέλων τὴν Ἁλικαρνασσόν, εἴτι φίλιον ἐνδοθείη ἐκ τῶν Ἁλικαρνασσέων. Ἀπέθανον δὲ τῶν μὲν τῆς πόλεως ἐς χιλίους, τῶν δὲ ξὺν Ἀλεξάνδρῳ ἀμφὶ τοὺς τεσσαράκοντα, καὶ ἐν τούτοις Πτολεμαῖός τε ὁ σωματοφύλαξ, καὶ Κλέαργος ὁ τοξάρχης καὶ Ἀδδαῖος ὁ χιλίαρχος· οὗτοι καὶ ἄλλοι τῶν οὐκ ἠμελημένων Μακεδόνων.

«Ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν Περσῶν, Ὀροντοβάτης τε καὶ Μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες σφᾶς τε οὐ δυναμένους ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορκίᾳ, καὶ τοῦ τείχους τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶντες, τὸ δὲ κατασεσεισμένον, πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν ταῖς ἐκδρομαῖς, τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ καὶ ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας· ταῦτα ἐν νῷ λαβόντες, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς τόν τε ξύλινον πύργον ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχαναῖς τῶν πολεμίων ἐμπιπρᾶσι, καὶ τὰς στοὰς ἐν αἷς τὰ βέλη αὐτοῖς ἀπέκειτο. Ἐνέβαλον δὲ καὶ ταῖς οἰκίαις πῦρ ταῖς πλησίον τοῦ τείχους· τῶν δὲ καὶ προσήψατο ἡ φλὸξ ἀπό τε τῶν στοῶν καὶ τοῦ πύργου πολλὴ ἐπενεχθεῖσα, καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος· αὐτῶν δὲ οἱ μὲν ἐς τὴν ἄκραν τὴν ἐν τῇ νήσῳ ἀπεχώρησαν, οἱ δὲ ἐς τὴν Σαλμακίδα ἄκραν οὕτω καλουμένην. Ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη ταῦτα πρός τινων αὐτομοληθέντων ἐκ τοῦ ἔργου καὶ τὸ πῦρ πολὺ καθεώρα αὐτό, καί τοι ἀμφὶ μέσας που νύκτας ἦν τὸ γιγνόμενον· ὁ δὲ καὶ ὡς ἐξαγαγὼν τοὺς Μακεδόνας τοὺς μὲν ἔτι ἐμπιπράντας τὴν πόλιν ἔκτεινεν, ὅσοι δὲ ἐν ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν Ἁλικαρνασσέων τούτους δὲ σώζειν παρήγγειλεν. Ἤδη τε ἠὼς ὑπέφαινε, καὶ κατιδὼν τὰς ἄκρας, ἃς οἵ τε Πέρσαι καὶ οἱ μισθοφόροι κατειλήφεσαν, ταύτας μὲν ἀπέγνω πολιορκεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαι οἱ ἀμφ' αὐτὰς τῇ φύσει τῶν χωρίων καὶ οὐ παρὰ μέγα εἶναι ἐξελόντι οἱ τὴν

πόλιν ἤδη πᾶσαν. Θάψας δὲ τοὺς ἀποθανόντας ἐν τῇ νυκτί, τὰς μὲν μηχανὰς ἐς Τράλλοις ἀπαγαγεῖν ἐκέλευσε τοὺς ἐπ᾽ αὐταῖς τεταγμένους. Αὐτὸς δὲ τὴν πόλιν εἰς ἔδαφος κατασκάψας, αὐτῆς τε ταύτης καὶ τῆς ἄλλης Καρίας φυλακὴν ἐγκαταλειπών, ξένους μὲν πεζοὺς τρισχιλίους, ἱππεῖς δὲ ἐς διακοσίους καὶ Πτολεμαῖον ἡγεμόνα αὐτῶν, ἐπὶ Φρυγίας ἐστέλλετο· τῆς δὲ Καρίας ξυμπάσης σατραπεύειν ἔταξεν Ἄδαν, θυγατέρα μὲν Ἑκατόμνου, γυναῖκα δὲ Ἰδριέως, ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν, κατὰ νόμον τῶν Καρῶν ξυνῴκει. Καὶ ὁ μὲν Ἰδρεὺς τελευτῶν ταύτῃ ἐπέτρεψε τὰ πράγματα νενομισμένον ἐν τῇ Ἀσίᾳ ἔτι ἀπὸ Σεμιράμεως, καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. Πηξόδαρος δὲ τὴν μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγματα· τελευτήσαντος δὲ Πηξοδάρου Ὀροντοβάτης τὴν Καρῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε, γαμβρὸς ὢν Πηξοδάρου. Ἄδα δὲ Ἄλινδα μόνον κατεῖχε, χωρίον τῆς Καρίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐσβαλλόντι Ἀλεξάνδρῳ ἐς Καρίαν ἀπήντα, τά τε Ἄλινδα ἐνδιδοῦσα, καὶ παῖδα οἱ τιθεμένη Ἀλέξανδρον. Καὶ Ἀλέξανδρος τά τε Ἄλινδα αὐτῇ ἐπέτρεψε, καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσε, καὶ ἐπειδὴ Ἁλικαρνασσόν τε ἑξεῖλε, καὶ τῆς ἄλλης Καρίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε.

«Τῶν Μακεδόνων δὲ τῶν συνεστρατευομένων Ἀλεξάνδρῳ, ἦσαν οἱ νεωστὶ πρὸ τῆς στρατείας γεγαμηκότες· καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναι ὁ Ἀλέξανδρος, ἀλλ᾽ ἐκπέμπει γὰρ αὐτοὺς ἐκ Καρίας διαχειμάσοντας ἐν Μακεδονίᾳ ἅμα ταῖς γυναιξὶν ἐπιτάξας αὐτοῖς Πτολεμαῖον τὸν Σελεύκου ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν, καὶ τῶν στρατηγῶν Κοῖνόν τε τὸν Πολεμοκράτους καὶ Μελέαγρον τὸν Νεοπτολέμου, ὅτι καὶ αὐτοὶ τῶν νεογάμων ἦσαν, προστάξας, ἐπειδὰν αὐτοί τε ἐπανίωσι, καὶ τοὺς μετὰ σφῶν ἐκπεμφθέντας ἐπαναγάγωσι, καταλέξαι ἱππέας τε καὶ πεζοὺς ἐκ τῆς χώρας ὅσους πλείστους. Καὶ τῷ ἔργῳ τούτῳ εἴπερ τινι ἄλλῳ εὐδοκίμησε παρὰ Μακεδόσιν Ἀλέξανδρος· ἔπεμψε δὲ καὶ Κλέανδρον τὸν Πολυκράτους ἐπὶ ξυλλογῇ στρατιωτῶν εἰς Πελοπόννησον. Παρμενίωνα δὲ πέμπει ἐπὶ Σάρδεων διδοὺς αὐτῷ τῶν τε ἑταιρῶν ἱππαρχίαν καὶ Θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους ξυμμάχους καὶ τὰς ἁμάξας ἄγειν· καὶ κελεύει προϊέναι ἀπὸ Σάρδεων ἐπὶ Φρυγίαν. Αὐτὸς δὲ ἐπὶ Λυκίας τε καὶ

Παμφυλίας ἦει, ὡς τῆς παραλίου κρατήσας, ἀχρεῖον καταστῆσαι τοῖς πολεμίοις τὸ ναυτικόν. Καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρναν χωρίον ὀχυρὸν φυλακὴν ἔχον ξένους μισθοφόρους ἐξ ἐφόδου ἔλαβεν· οἱ δ' ἐκ τῆς ἄκρας ξένοι ὑπόσπονδοι ἐξῆλθον· ἔπειτα εἰσβαλὼν εἰς Λυκίαν Τελμισσεῖς μὲν ὁμολογίᾳ προσηγάγετο· περάσας δὲ τὸν Ξάνθον ποταμόν, Πίναρα καὶ Ξάνθον τὴν πόλιν καὶ Πάταρα ἐνδοθέντα ἔλαβε καὶ ἄλλα ἐλάττω πολίσματα ἐς τριάκοντα. Ταῦτα κατα-πράξας ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος ἐς τὴν Μιλυάδα καλουμένην χώραν εἰσβάλλει, ἧς ἔστι μὲν τῆς μεγάλης Φρυγίας, ξυνετέλει δὲ ἐς τὴν Λυκίαν, τότε οὕτως ἐκ βασιλέως μεγάλου τεταγμένον. Καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἦκον περὶ φιλίας τε καὶ χρυσῷ στε-φάνῳ στεφανῶσαι Ἀλέξανδρον, καὶ ὑπὲρ τῶν αὐτῶν ἐπικηρυκευό-μενοι ἐπρέσβευον Λυκίων τῶν κάτω οἱ πολλοί. Ἀλέξανδρος δὲ Φα-σηλίτας τε καὶ Λυκίους παραδοῦναι τὰς πόλεις τοῖς ἐπὶ τούτῳ στελλομένοις ἐκέλευσε, καὶ παρεδόθησαν ξύμπασαι· αὐτὸς δὲ ὀλίγον ὕστερον ἐς τὴν Φασηλίδα παραγενόμενος, συνεξαίρει αὐτοῖς φρού-ριον ὀχυρὸν ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Ἱσιδῶν. Ὅθεν ὁρμώ-μενοι οἱ βάρβαροι, πολλὰ ἔβλαπτον τῶν Φασηλιτῶν τοὺς τὴν γῆν ἐργαζομένους.» 1)

ΠΟΛΙΟΡΚΙΑ ΚΑΙ ΑΛΩΣΙΣ ΤΟΥ ΜΑΡΜΑΡΑ. — «Τῆς γὰρ Λυκίας περὶ τὰς ἐσχατιὰς πέτραν μεγάλην ὀχυρότητι διαφέρουσαν ᾤκουν οἱ Μαρμαρεῖς ὀνομαζόμενοι, οἵτινες παριόντος Ἀλεξάνδρου τὸ χωρίον ἐπέθεντο τοῖς κατὰ τὴν οὐραγίαν Μακεδόσι καὶ συχνοὺς ἀνελόντες πολλὰ τῶν σωμάτων καὶ ὑποζυγίων ἀφῆρπασαν. Ἐπὶ δὲ τούτοις ὁ βασιλεὺς παροξυνθεὶς συνεστήσατο πολιορκίαν, καὶ πᾶσαν εἰσεφέρετο σπουδὴν βίᾳ κρατῆσαι τοῦ χωρίου· οἱ δὲ Μαρμαρεῖς ἀνδρείᾳ διαφυγόντες καὶ τῇ τῶν τόπων ἐρυμνότητι πιστεύοντες ὑπέ-μενον εὐρώστως τὴν πολιορκίαν. Ἐπὶ μὲν οὖν ἡμέρας δύο συνεχεῖς ἐγίνοντο προσβολαί, καὶ φανερὸς ἦν ὁ βασιλεὺς οὐκ ἀποστησόμενος ἕως ἂν ἕλῃ τὴν πέτραν. Οἱ δὲ πρεσβύτεροι τῶν Μαρμαρέων τὸ μὲν πρῶτον συνεβούλευον τοῖς νέοις παυσαμένοις τῆς βίας, ἐφ' οἷς ἦν δυνατόν, συλλυθῆναι πρὸς τὸν βασιλέα· οὐ πειθομένων δ' αὐτῶν,

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξάνδρου Βιβλ. I, κεφ. 24, 13—κεφ. 24, 4.

ἀλλὰ πάντων φιλοτιμουμένων συναποθανεῖν τῇ τῆς πατρίδος ἐλευθερίᾳ, παρεκάλεσαν αὐτοὺς τέκνα μὲν καὶ γυναῖκας καὶ τοὺς γεγηρακότας ἀνελεῖν, αὐτοὺς δὲ τοὺς δυναμένους διὰ τῆς ἀλκῆς σώζεσθαι νυκτὸς διὰ μέσων τῶν πολεμίων διεκπεσεῖν καὶ καταφυγεῖν εἰς τὴν πλησίον ὀρεινήν· συγκαταθεμένων δὲ τῶν νέων, καὶ προσταξάντων κατ' οἰκίαν ἑκάστους μετὰ τῆς συγγενείας ἀπολαύσαντας τῶν προσηνεστάτων βρωτῶν τε καὶ ποτῶν ὑπομεῖναι τὸ δεινόν, ἔδοξε τοῖς νέοις, οὕτω ὡς ἑξακοσίοις τοῦ μὲν φονεύειν τοὺς προσήκοντας ἀποσχέσθαι, τὰς δὲ οἰκίας ἐμπρῆσαι καὶ διὰ τῶν πυλῶν ἐκχυθέντας εἰς τὴν ὀρεινὴν ἀποχωρῆσαι. Οὗτοι μὲν οὖν τὰ δεδογμένα συντελέσαντες ταῖς ἰδίαις ἑστίαις ἑκάστους ἐποίησαν ἐνταφῆναι, αὐτοὶ δὲ διὰ μέσων τῶν περιεστρατοπεδευκότων ἔτι νυκτὸς διεκπεσόντες ἔφυγον εἰς τὴν πλησίον ὀρεινήν» 1).

ΔΙΕΡΧΕΤΑΙ ΤΗΝ ΚΑΕΙΣΩΡΙΑΝ ΤΗΣ ΚΑΙΜΑΚΟΣ ΚΑΙ ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΠΑΜΦΥΛΙΑΝ. — «Ἀλέξανδρος δ' ἄρας ἐκ Φασήλιδος, μέρος μέν τι τῆς στρατιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ Πέργης, ἣ ὠδοποιήκεσαν αὐτῷ οἱ Θρᾷκες χαλεπὴν ἄλλως καὶ οὐ μακρὰν οὖσαν τὴν πάροδον· αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τοῦ αἰγιαλοῦ ἦγε τοὺς ἀμφ' αὐτόν. Ἔστι δὲ ταύτῃ ἡ ὁδὸς (τῆς Κλίμακος) οὐκ ἄλλως, ὅτι μὴ τῶν ἀπ' ἄρκτου ἀνέμων πνεόντων· εἰ δὲ νότιοι κατέχοιεν, ἀπόρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδὸς πορεῖν. Τότε δὲ ἐκ νότων σκληρῶν, βορέαι ἐπιπνεύσαντες, οὐκ ἄνευ τοῦ θείου (ὡς αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ἐξηγοῦντο) εὐμαρῆ καὶ ταχεῖαν τὴν πάροδον παρέσχον».

ΣΥΝΘΗΚΑΙ ΜΕΤΑ ΤΗΣ ΑΣΠΕΝΔΟΥ. — «Ἐκ Πέργης δὲ ὡς πρᾴει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Ἀσπενδίων, αὐτοκράτορες, τὴν μὲν πόλιν ἐνδιδόντες, φρουρὰν δὲ μὴ εἰσάγειν δεόμενοι. Καὶ περὶ μὲν τῆς φρουρᾶς πράξαντες ἀπῆλθον ὅσα ἠξίουν· πεντήκοντα δὲ τάλαντα κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοῖς ἐς μισθόν, καὶ τοὺς ἵππους, οὓς δασμὸν βασιλεῖ ἔτρεφον· οἱ δὲ ὑπέρ τε τοῦ ἀργυρίου καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι ἀπῆλθον. Ἀλέξανδρος δὲ ἐπὶ Σίδης ἦει· εἰσὶ δὲ οἱ Σιδῆται Κυμαῖοι ἐκ Κύμης

1) Διόδ. Σικελ. βιβλ. 17, 28.

τῆς Αἰολίδος· καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τόν δε τὸν λόγον· ὅτι ὡς κατῆραν εἰς τὴν γῆν ἐκείνην οἱ πρῶτοι ἐκ Κύμης σταλέντες καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν αὐτίκα τὴν μὲν Ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς δὲ βάρβαρον φωνὴν ἔσαν, οὐδὲ τῶν προσχώρων βαρβάρων, ἀλλὰ ἰδίαν σφῶν, οὔπω πρόσθεν οὖσαν τὴν φωνήν· καὶ ἐκ τότε οὐ κατὰ πολλοὺς προσχώρους Σιδῖται ἐβαρβάριζον. Καταλιπὼν δὲ φρουρὰν ἐν τῇ Σίδῃ, προσῄει ἐπὶ Σύλλιον φρούριον ὀχυρὸν καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων, καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων· ἀλλ᾽ οὔτε τὸ Σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν.

«Ἔπειτα καὶ ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδόν, τοὺς Ἀσπενδίους, ὅτι οὐδὲν τῶν συγκειμένων πράξαι ἐθέλοιεν· οὔτε τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, οὔτε ἀπαριθμῆσαι τὰ χρήματα, καὶ τὰ ἐκ τῆς χώρας ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν, τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ᾽ Ἀλεξάνδρου, καὶ τὰ τείχη ὅπη πεπονηκόταν ἦν, ἐπισκευάζουσι ταῦτα πυθόμενοι, ἐπὶ Ἀσπένδου ἀνεζεύγνυεν· οἱ δ᾽ Ἀσπένδιοι ὡς εἶδον αὐτόν τε Ἀλέξανδρον παρ᾽ ἐλπίδα ἥκοντα, καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντῃ, πέμψαντες πρέσβεις ἐδέοντο, ἐφ᾽ οἷς περ πρότερον ξομβῆναι. Καὶ Ἀλέξανδρος τό τε χωρίον ὀχυρὸν ἰδών, καὶ αὐτός, οὐκ ἐπιχρόνιον πολιορκίαν παρασκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν οὐδὲ ὡς ξυνέβη πρὸς αὐτούς. Ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους, οὓς πρόσθεν ὡμολόγησαν, καὶ ἑκατὸν τάλαντα, ἀντὶ τῶν πεντήκοντα, καὶ πείθεσθαι τῷ σατράπῃ τῷ ὑπ᾽ Ἀλεξάνδρου ταχθέντι καὶ φόρους ὑποφέρειν ὅσα ἔτη Μακεδόσι καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι, ἣν τῶν προσχώρων οὖσαν βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν. Ὡς δὲ πάντα οἱ ἀπεχώρησαν, ἀνέζευξεν εἰς Πέργην, κἀκεῖθεν εἰς Φρυγίαν ὥρμητο.»

ΠΟΛΙΟΡΚΙΑ ΠΕΝΔΗΛΙΣΣΟΥ Η ΤΕΛΜΙΣΣΟΥ — «Ἦν δὲ αὐτῷ ἡ πορεία παρὰ Τελμισσὸν πόλιν· οἱ δὲ ἄνθρωποι οὗτοι, τὸ μὲν γένος Πισίδαι εἰσὶ βάρβαροι, χωρίον δὲ οἰκοῦσι ὑπερύψηλον, καὶ πάντῃ ἀπότομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν χαλεπή· καθήκει γὰρ ἐκ τῆς πόλεως ὄρος ἐς τε ἐπὶ τὴν ὁδόν· καὶ τοῦτο μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύεται. Ἀντίπορον δὲ αὐτῷ ὄρος ἄλλο ἐστίν, οὐ μεῖον ἀπότομον· καὶ ταῦτα τὰ ὄρη ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καὶ ἔστιν

ὀλίγῃ φυλακῇ κατέχοντας τὰ ὄρη ταῦτα, ἄπορον ποιεῖν τὴν πάροδον. Καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες, ἀμφότερα τὰ ὄρη κατεῖχον. Ταῦτα δὴ ἰδὼν Ἀλέξανδρος στρατοπεδεύεσθαι, αὐτοῦ, ὅπως εἶχον, ἐκέλευε τοὺς Μακεδόνας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ Τελμισσεῖς, αὐλιζομένους σφᾶς ἰδόντες, ἀλλ' ἀποχωρήσουσιν εἰς τὴν πόλιν πλησίον οὖσαν οἱ πολλοὶ αὐτῶν, ὅσην φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσι. Καὶ ξυνέβη, ὡς εἴκαζεν. Ἀλέξανδρος δὲ ὑπερβαλὼν τὰ στενά, πρὸς τῇ πόλει κατεστρατοπέδευσε».

ΣΥΜΜΑΧΙΑ ΜΕΤΑ ΤΩΝ ΣΕΛΓΕΩΝ. — «Καὶ ἐνταῦθα ἀφικνοῦνται παρ' αὐτὸν Σελγέων πρέσβεις· οἱ δὲ εἰσὶ καὶ αὐτοὶ Πισίδαι βάρβαροι· ὅτι δὲ πολέμιοι τοῖς Τελμισσεῦσιν ἐκ παλαιοῦ ἐτύγχανον, ὑπὲρ φιλίας πρὸς Ἀλέξανδρον πεπρεσβευμένοι ἦσαν, καὶ πρὸς τούτοις σπένδεται Ἀλέξανδρος καὶ ἐκ τούτου πιστοῖς εἰς ἅπαντα ἐχρήσατο».

ΑΛΩΣΙΣ ΤΗΣ ΣΑΛΑΓΑΣΣΟΥ. — ΥΠΟΤΑΓΗ ΤΗΣ ΠΙΣΙΔΙΑΣ. — «Τὴν Τελμισσὸν δὲ ἀπέγνω ἑλεῖν ἂν ἐν ὀλίγῳ χρόνῳ, ἀλλ' ἐπὶ Σαλαγασσοῦ ἐστέλλετο· ἦν δὲ καὶ αὕτη οὐ μικρὰ πόλις· Πισίδαι καὶ ταύτην ᾤκουν· καὶ ἐδόκουν πάντων Πισιδῶν μαχίμων ὄντων αὐτοὶ εἶναι οἱ μαχιμώτατοι. Ὡς δ' ἐν χερσὶ ἡ μάχη ἐγένετο, γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο, καὶ πάντη κατατιτρωσκόμενοι ἔπιπτον, ἐνταῦθα δὴ ἐγκλίνουσι, καὶ ἀπέθανον μὲν αὐτῶν ἐς πεντακοσίους. Κοῦφοι γὰρ ὄντες, καὶ ἔμπειροι τῶν χωρίων, οὐ χαλεπῶς ἀπεχώρουν. Ἀλέξανδρος δὲ ἐχόμενος τῶν φευγόντων, τὴν πόλιν αὐτῶν αἱρεῖ κατὰ κράτος. Ἀλέξανδρος δὲ ἐπὶ τοὺς ἄλλους Πισίδας ἦγε, καὶ τὰ μὲν τινὰ τῶν φρουρίων βίᾳ ἐξεῖλε, τὰ δὲ ὁμολογίᾳ προσηγάγετο». 1)

Ἡ ὑποταγὴ τῆς Πισιδίας ἦν λίαν ἐνδιαφέρουσα τῷ Ἀλεξάνδρῳ. Κύριος γενόμενος τῶν πολυαρίθμων στενῶν τῆς ὀρεινῆς ταύτης χώρας, ἐξησφάλιζε τὴν συγκοινωνίαν αὐτοῦ μετὰ τοῦ πεδίου τῆς Φρυγίας κατεχομένου ἤδη ὑπὸ τοῦ στρατηγοῦ αὐτοῦ Παρμενίωνος καὶ διηυκόλυνεν εἰς τὸν στρατὸν αὐτοῦ ἐπιστρέφοντα εἰς τὰ μεσημβρινὰ παράλια νὰ λαμβάνῃ διὰ τῆς συντομωτέρας ὁδοῦ τὰς ἐπικουρίας, αἵ-

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξ. βιβλ. 1, 25—28.

τινες ἤθελον ἀποστέλλεσθαι αὐτῷ ἐξ Εὐρώπης ἢ τῆς Λυδίας καὶ τῆς Μυσίας καί, κύριος ἤδη τῶν παρακτίων, θὰ ἠδύνατο εὐχερῶς νὰ κατακτήσῃ καὶ τὸ λοιπὸν μέρος τῆς Χερσονήσου, ὅπερ ἔμελλε νὰ χρησιμεύσῃ ὡς βάσις τῶν ἐργασιῶν αὐτοῦ κατὰ τοῦ λοιποῦ τοῦ βασιλείου τῶν Περσῶν.

Ο ΑΛΕΞΑΝΔΡΟΣ ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΦΡΥΓΙΑΝ. — ΑΙ ΚΕΛΑΙΝΑΙ ΠΑΡΑΔΙΔΟΝΤΑΙ ΑΥΤΩ. — «Ἐντεῦθεν δὲ ἦει ἐπὶ Φρυγίας, παρὰ τὴν λίμνην ἣ ὄνομα Ἀσκανία, ἐν ᾗ ἅλες πήγνυνται αὐτόματοι· καὶ ἀφικνεῖται εἰς Κελαινὰς πεμπταῖος. Ἐν δὲ ταῖς Κελαιναῖς ἄκρα ἦν πάντῃ ἀπότομος καὶ ταύτην φυλακῇ κατεῖχον ἐκ τοῦ Σατράπου τῆς Φρυγίας Κᾶρες μὲν χίλιοι, Ἕλληνες δὲ μισθοφόροι ἑκατόν. Καὶ οὗτοι πρεσβεύονται παρ' Ἀλέξανδρον ἐπαγγελλόμενοι, εἰ μὴ ἀφίκοιτο σφίσι βοήθεια ἐν ἡμέρᾳ ᾗ ξυνέκειτο (φράσαντες τὴν ἡμέραν) ὅτι παραδώσουσι τὸ χωρίον. Καὶ ἔδοξε ταῦτα Ἀλεξάνδρῳ ὠφελιμώτερα, ἢ πολιορκεῖν, ἄπορον πάντῃ προσφέρεσθαι τὴν ἄκραν. Πρὸς μὲν δὴ ταῖς Κελαιναῖς φυλακὴν καταλείπει στρατιώτας ἐς χιλίους καὶ πεντακοσίους. Μείνας δὲ αὐτοῦ ἡμέρας δέκα σατράπην ἀπέδειξε Φρυγίας Ἀντίγονον τὸν Φιλίππου» 1).

ΠΡΟΧΩΡΕΙ ΜΕΧΡΙ ΓΟΡΔΙΟΥ. — Διὰ τῆς ἁλώσεως τῶν Κελαινῶν ἐξησφάλισε σπουδαίαν ὁδὸν συγκοινωνίας εἰς τὸ πεδίον τοῦ Μαιάνδρου, δι' οὗ εἰς ἄμεσον ἦλθε συνάφειαν μετὰ τῆς Μιλήτου· ἀλλὰ τοῦτο δὲν ἀρκεῖ. Δέον προστούτοις νὰ καταλάβῃ καὶ τὸ πεδίον τοῦ Ἕρμου καὶ ἐξασφαλίσῃ τὴν συγκοινωνίαν αὐτοῦ μετὰ τοῦ Εὐξείνου Πόντου καὶ τῶν σατραπειῶν τῶν βορειοδυτικῶς τοῦ πεδίου τοῦ Σαγγαρίου κειμένων. Τοιοῦτος βεβαίως ὁ σκοπὸς τῆς πρὸς τὸ Γόρδιον πορείας αὐτοῦ, ἔνθα ὁ Παρμενίων εἶχε λάβει διαταγὴν νὰ προσέλθῃ καὶ συνενωθῇ μετὰ τοῦ στρατοῦ αὐτοῦ καὶ τῶν ἐκ Μακεδονίας προσερχομένων ἐπικουριῶν. Ἐνταῦθα δὲ παίσας τῷ ξίφει διέλυσε τὸν γόρδιον δεσμὸν πληρώσας οὕτω τὸν χρησμὸν εἰπόντα «ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας» 1).

---

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξ. βιβλ. 1, 29.

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξ. βιβλ. 2, 3.

ΥΠΟΤΑΓΗ ΤΗΣ ΠΑΦΛΑΓΟΝΙΑΣ ΚΑΙ ΚΑΠΠΑΔΟΚΙΑΣ. — «Καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα, καὶ τοῦ δεσμοῦ τὴν λύσιν, καὶ ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς ἐστέλλετο, κἀκεῖ αὐτῷ πρεσβεῖαι Παφλαγόνων ἀφικνεῖται τό τε ἔθνος ἐνδιδόντων καὶ εἰς ὁμολογίαν ξυμβαινόντων. Τούτοις μὲν προστάσσει ὑπακούειν τῷ Σατράπῃ τῆς Φρυγίας, αὐτὸς δὲ ἐπὶ τῆς Καππαδοκίας ἐλάσας, ξύμπασαν τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν· καταστήσας δὲ Καππαδοκῶν Σαβίκταν σατράπην, αὐτὸς προῆγεν ἐπὶ τὰς πύλας τῆς Κιλικίας» 1).

ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΚΙΛΙΚΙΑΝ. — «Καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρου τοῦ ξὺν Ξενοφῶντι στρατόπεδον, ὡς κατεχομένας τὰς πύλας φυλακαῖς ἰσχυραῖς εἶδε, Παρμενίωνα μὲν αὐτοῦ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν, ὅσοι βαρύτερον ὡπλισμένοι ἦσαν, αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας, ὡς οὐ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. Καὶ προσάγων μὲν οὐκ ἔλαθεν, ἐς ἴσον δὲ αὐτῷ κατέστη ἡ τόλμα. Οἱ γὰρ φύλακες αἰσθόμενοι Ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν ᾤχοντο φεύγοντες. Τῇ δ' ὑστεραίᾳ, ἅμα τῇ ἕῳ ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας, κατέβαινεν εἰς τὴν Κιλικίαν. Καὶ ἐνταῦθα ἀγγέλλεται αὐτῷ Ἀρσάμης, ὅτι πρόσθεν μὲν ἐπενόει διασώζειν Πέρσαις τὴν Ταρσόν, ὡς δὲ ὑπερβεβληκότας ἤδη τὰς πύλας, ἐκλιπεῖν ἐν νῷ εἶχε τὴν πόλιν. Δεδιέναι οὖν τοὺς Ταρσεῖς μὴ ἐρ' ἁρπαγὴν τραπεὶς οὕτω τὴν ἀπόλειψιν τῆς Ταρσοῦ ποιήσηται. Ταῦτα ἀκούσας δρόμῳ ἦγεν ἐπὶ τὴν Ταρσὸν τούς τε ἱππέας καὶ τῶν φιλῶν ὅσοι κουφότατοι. Ὥστε ὁ Ἀρσάμης μαθὼν αὐτοῦ τὴν ὁρμὴν σπουδῇ φεύγει ἐκ τῆς Ταρσοῦ παρὰ βασιλέα Δαρεῖον, οὐδὲν βλάψας τὴν πόλιν» 2)

ΑΝΤΙΠΕΡΙΣΠΑΣΜΟΣ ΤΟΥ ΜΕΜΝΩΝΟΣ. — Ἐν Ταρσῷ βεβαίως ἀφικόμενος ὁ Ἀλέξανδρος ἐπληροφορήθη τοὺς σπουδαίους

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξαν. βιβλ. 2, 4.
(2) Ἀρριαν. Ἀνάβ. Ἀλεξ. βιβλ. 2, 4.

κινδύνους τοὺς ἐπαπειλήσαντας τὴν ὀπισθοφυλακὴν αὐτοῦ ἀπὸ τῆς ἀναχωρήσεώς του ἐκ Καρίας. «Ἐπὶ τούτων Δαρεῖος χρημάτων πλῆθος ἐξέπεμψε τῷ Μέμνωνι καὶ τοῦ πολέμου παντὸς ἀπέδειξε στρατηγόν. Ὁ δὲ μισθοφόρων πλῆθος ἀθροίσας καὶ τριακοσίας ναῦς πληρώσας ἐνεργῶς διώκει τὰ κατὰ τὸν πόλεμον. Χίον μὲν οὖν προσηγάγετο· πλεύσας δὲ ἐπὶ Λέσβῳ Ἄντισσαν καὶ Μήθυμναν καὶ Ὕρραν καὶ Ἔρεσον ραδίως ἐχειρώσατο, τὴν δὲ Μιτυλήνην μεγάλην οὖσαν καὶ παρασκευαῖς μεγάλαις καὶ πλήθει τῶν ἀμυνομένων ἀνδρῶν κεχορηγημένην πολλὰς ἡμέρας πολιορκήσας καὶ πολλοὺς τῶν στρατιωτῶν ἀποβαλὼν μόλις εἷλε κατὰ κράτος. Εὐθὺς δὲ τῆς περὶ τὸν στρατηγὸν ἐνεργείας διαβοηθείσης αἱ πλείους τῶν Κυκλάδων νήσων διεπρεσβεύοντο· προσπεσούσης δὲ φήμης εἰς τὴν Ἑλλάδα διότι Μέμνων μετὰ τοῦ στόλου μέλλει πλεῖν ἐπ' Εὐβοίας, αἱ μὲν κατὰ τὴν νῆσον ταύτην πόλεις περίφοβοι καθηστείκεσαν, οἱ δὲ τὰ τῶν Περσῶν αἱρούμενοι τῶν Ἑλλήνων, ἐν οἷς ὑπῆρχον καὶ Σπαρτιᾶται, μετέωροι ταῖς ἐλπίσιν ἐγίγνοντο πρὸς καινοτομίαν». 1)

ΘΑΝΑΤΟΣ ΤΟΥ ΜΕΜΝΩΝΟΣ. (333). — Μαθὼν τὸν ἐπαπειλοῦντα αὐτὸν κίνδυνον ὁ Ἀλέξανδρος ἐν μεγίστῃ εὑρέθη δυσχερείᾳ, ἥτις λίαν κατετάραξεν αὐτὸν ἀσθενοῦντα ἔτι. Ἀλλ' ἡ εἴδησις, ἣν ἔλαβε μετ' ὀλίγας ἡμέρας περὶ Μέμνωνος, ὅστις «περιπεσὼν ἀρρωστίᾳ καὶ πάθει παραβόλῳ συσχεθεὶς μετήλλαξε τὸν βίον», ὡς καὶ ἡ ἱκανότης τοῦ ἰατροῦ Φιλίππου συνετέλεσαν εἰς τὴν ταχεῖαν αὐτοῦ ἀνάρρωσιν. Ὁ Αὐτοφραδάτης καὶ ὁ Φαρνάβαζος, διαδεχθέντες τὸν Μέμνωνα, κατώρθωσαν μὲν νὰ καταλάβωσι τὴν Μιτυλήνην, τὰς Κυκλάδας καὶ τὴν Τένεδον, ἀλλ' αἱ ἐφήμεροι αὗται ἐπιτυχίαι δὲν ἠδύναντο νὰ ἀντισταθμίσωσι τὴν ἀπώλειαν τοῦ μόνου ἀντιπάλου, τὸν ὁποῖον ἠδύνατο νὰ φοβῆται ὁ Ἀλέξανδρος. Ἀφ' ἑτέρου τὰ μέτρα, ἅτινα ἔλαβεν ὁ Ἀντίπατρος, εἶχον ἀπομακρύνει τὸν Περσικὸν στόλον τῶν ἀκτῶν τῆς Ἑλλάδος. Οὐδὲν τοὐντεῦθεν ὑπῆρχε τὸ κινδυνῶδες, ὁ δὲ κατακτητὴς ἠδύνατο ἐλευθέρως νὰ ἀκολουθῇ τὰ φιλόδοξα αὐτοῦ σχέδια.

ΚΑΤΑΚΤΗΣΙΣ ΤΩΝ ΠΟΛΕΩΝ ΤΗΣ ΚΙΛΙΚΙΑΣ. — Ἀναρρώ-

(1) Διόδ. Σικελ. βιβλ. 17, 29.

σας ὁ Ἀλέξανδρος ἀπέστειλε τὸν Παρμενίωνα νὰ καταλάβῃ τὰ στενά, τὰ χωρίζοντα τὴν Κιλικίαν τῆς Συρίας· αὐτὸς δέ, ἐξελθὼν τῆς Ταρσοῦ καὶ μετὰ πορείαν ἡμέρας, ἀφικνεῖται εἰς Ἀγχιάλον καὶ ἐκεῖθεν εἰς Σόλους ἔνθα, τάξας φυλακὴν καὶ συμπαραλαβὼν τοὺς ἱππεῖς καὶ ψιλοὺς στρατιώτας αὐτοῦ, προσβάλλει τοὺς ὀρεινοὺς Κίλικας καὶ ὑποτάξας αὐτοὺς ἐν ἑπτὰ ἡμέραις τὸ μὲν βίᾳ, τὸ δὲ σπονδαῖς, εἰσέρχεται εἰς Σόλους.

Ο ΑΛΕΞΑΝΔΡΟΣ ΠΛΗΡΟΦΟΡΕΙΤΑΙ ΤΗΝ ΟΛΟΣΧΕΡΗ ΥΠΟΤΑΓΗΝ ΤΗΣ ΚΑΡΙΑΣ. — Εἰσελθὼν εἰς Σόλους ὁ Ἀλέξανδρος λαμβάνει εἴδησιν, ἥτις ἔμελλε νὰ ἐξασφαλίσῃ ἑαυτῷ ὁλοσχερῶς τὸ μέλλον. Ὁ Πτολεμαῖος καὶ ὁ Ἄσανδρος ἐνίκησαν τὸν Ὀθοντοβάτην κατέχοντα τὴν ἀκρόπολιν τῆς Ἁλικαρνασσοῦ. Ἡ Μύνδος, ἡ Καῦνος, ἡ Θήρα καὶ ἡ Καλλίπολις παρεδόθησαν. Ἡ κατάληψις τῆς Κῶ καὶ τοῦ Τριοπίου ἠκολούθησε τὴν ἐπιτυχίαν ταύτην. Ὁ Ἀλέξανδρος ἐν τῇ χαρᾷ αὐτοῦ ἔθυσε τῷ Ἀσκληπιῷ καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα καὶ λαμπάδα ἐπιτελέσας καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μουσικὸν Σολεῦσι δημοκρατεῖσθαι ἔδωκε 1).

ΠΡΟΕΤΟΙΜΑΖΕΤΑΙ ΟΠΩΣ ΕΙΣΕΛΘΗ ΕΙΣ ΣΥΡΙΑΝ. — Ὁ Ἀλέξανδρος ἀκολούθως διέταξε τὸν Φιλώταν νὰ ὁδηγήσῃ τοὺς ἱππεῖς πρὸς τὸν ποταμὸν Πύραμον διὰ τοῦ Ἀληΐου πεδίου αὐτὸς δὲ ἐλαύνει πρὸς Ταρσὸν μετὰ τῶν πεζῶν. Ἀφικόμενος εἰς Μαγαρσὸν, θύει τῇ Ἀθηνᾷ καὶ εἶτα φθάνει εἰς Μαλλὸν ἔνθα ποιεῖ ἐναγίσματα εἰς τὸν Ἀμφίλοχον ὡς εἰς ἥρωα. Μετ' οὐ πολὺ πληροφορεῖται ὅτι ὁ Δαρεῖος μετὰ τοῦ στρατοῦ αὐτοῦ στρατοπεδεύει ἐν Σώχοις δύο σταθμοὺς πέραν τῶν πυλῶν τῆς Συρίας. Πάραυτα διευθύνεται πρὸς τὰς πύλας ταύτας καὶ διελθὼν αὐτὰς ἐν δυσὶν ἡμέραις στρατοπεδεύει παρὰ τὴν Μυρίανδρον.

ΜΑΧΗ ΕΝ ΙΣΣΩ. — Ὁ Ἀθηναῖος Χαρίδημος μάτην συνεβούλευσε τὸν Δαρεῖον νὰ μένῃ ἐν τῷ κέντρῳ τοῦ βασιλείου του ἐγγυόμενος αὐτῷ τὴν νίκην, ἐὰν ἔθετε ὑπὸ τὰς διαταγὰς αὐτοῦ στρατὸν δέκα μυριάδων, ὧν τὸ τρίτον νὰ ἦ Ἕλληνες μισθοφόροι, ἀλλ' ἀπέ-

(1) Ἀρριαν. Ἀνάβ. Ἀλεξ. βιβλ. 2, 5.

τισε διὰ τῆς ζωῆς του τὴν αὐθάδειαν τῆς ὠφελίμου ταύτης συμβουλῆς του. Ὁ βασιλεὺς τῆς Περσίας μὴ τολμῶν πλέον νὰ ἐμπιστευθῇ εἰς Ἕλληνα τὴν ὑπεράσπισιν τῶν συμφερόντων του ἀπεφάσισε νὰ κατέλθῃ μόνος πρὸς τὰ παράκτια τῆς Ἀσίας ὅπως αὐτοπροσώπως ὑποστῇ τὰς περιπετείας μάχης, ἥτις ἠδύνατο ν' ἀποφασίσῃ περὶ τῆς τύχης τῆς μοναρχίας αὐτοῦ.

Καὶ κατ' ἀρχὰς ἐξελέξατο πρὸς στρατοπέδευσιν τὸ ἐκτενὲς πεδίον τῆς Ἀσσυρίας, ἐν ᾧ ὁ πολυάριθμος αὐτοῦ στρατὸς καὶ τὸ ἱππικὸν ἠδύναντο εὐχερῶς καὶ λυσιτελῶς νὰ ἐξασκῶνται. Ὁ Ἀμύντας υἱὸς τοῦ Ἀντιόχου, ὅστις ἀπὸ ἰδιαιτέρου μίσους κατὰ τοῦ Ἀλεξάνδρου ἐλαυνόμενος, φυγὼν ἐκ Μακεδονίας, εἶχε καταφύγει παρὰ τῷ Δαρείῳ, συνεβούλευσε τῷ βασιλεῖ νὰ μὴ ἐγκαταλείψῃ τὴν θέσιν ταύτην, τοῦθ' ὅπερ καὶ ἔπραξεν ὁ Δαρεῖος ἐπί τινα καιρόν. Ἀλλ' ἐπειδὴ ὁ Ἀλέξανδρος διέμενεν ἀλληλοδιαδόχως εἰς Ταρσὸν χάριν τῆς ἀσθενείας του, εἰς Σόλους ἕνεκα τῶν ἀγώνων δι' ὧν ἑώρτασε τὰς νίκας τοῦ Ἀσάνδρου καὶ Πτολεμαίου ἐν Καρίᾳ καὶ εἰς τὰ ὄρη τῆς Κιλικίας ἕνεκα τῆς ἐκστρατείας αὐτοῦ κατὰ τῶν βαρβάρων, ὁ βασιλεὺς τῶν Περσῶν ἄλλως ἐκλαβὼν τὰ αἴτια τῆς βραδύτητος ταύτης, ἐνόμιζεν ὅτι ὁ Ἀλέξανδρος φοβούμενος τὴν προσέγγισίν του δὲν ἐτόλμα νὰ προχωρήσῃ ἀπωτέρω καὶ ἀπεφάσισε νὰ προχωρήσῃ οὗτος πρὸς συνάντησιν τοῦ Ἀλεξάνδρου. Διελθὼν ὅθεν τὰς Ἀμανικὰς πύλας καὶ ἀφήσας ἀσυνέτως ὄπισθεν αὐτοῦ τὸν Ἀλέξανδρον προχωρεῖ εἰς Ἰσσόν, ἣν καταλαμβάνει, ὠμῶς καὶ ἀπανθρώπως ἀποκτείνας τοὺς ἀσθενεῖς, οὓς ὁ Μακεδονικὸς στρατὸς εἶχεν ἀφήσει ἐν τῇ πόλει ταύτῃ. Τῇ ἐπαύριον προχωρεῖ πρὸς τὰς ὄχθας τοῦ Πινάρου χυνομένου ἐν τῷ κόλπῳ τῆς Ἰσσοῦς, πεποιθὼς ὅτι ὁ ἐχθρὸς κρύπτεται ἐντὸς τῶν δασῶν.

Πληροφορηθεὶς τὰς κινήσεις ταύτας ὁ Ἀλέξανδρος πέμπει τῶν ἑταίρων τινὰς κατασκοπήσοντας τὸν ἐχθρὸν καὶ πεισθεὶς ἐκ τῶν πληροφοριῶν αὐτῶν ὅτι ὁ Δαρεῖος εὑρίσκεται ἐν ἀκαταλλήλῳ θέσει προχωρεῖ νύκτωρ πρὸς τὸ μέρος τοῦτο καὶ περὶ τὴν ἕω διέρχεται μετὰ τοῦ στρατοῦ αὐτοῦ τὰς πύλας τῆς Συρίας. Ἐπειδὴ ἡ θέσις αὕτη τῷ ἐφάνη ἐκτενής, διαιρεῖ τὰ σώματα αὐτοῦ εἰς φάλαγγας, στηρίζων τὸ δεξιὸν αὐτοῦ κέρας ἐπὶ τῶν ὀρέων καὶ τὸ εὐώνυμον ἐπὶ

τοῦ ποταμοῦ. Ταὐτοχρόνως τὸ ἱππικὸν ταχέως τοποθετεῖται ὄπισθεν τοῦ πεζικοῦ· ὁ στρατὸς οὕτω τεταγμένος τίθεται ἐν μάχῃ!

Ὁ Ἀρριανὸς ὧδε πῶς ἐκτίθησι τὰς τῆς μάχης ταύτης.

«Ὡς δὲ εἰς τὴν εὐρυχωρίαν προῆσαν, συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς εἰς μάχην· πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό τε ἄγημα καὶ τοὺς ὑπασπιστάς, ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐχομένην δὲ τούτων, τὴν Κοίνου τάξιν· ἐπὶ δὲ τούτοις, τὴν Περδίκκου. Οὗτοι μὲν ἔς τε ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀρξομένῳ τεταγμένοι ἦσαν. Ἐπὶ δὲ τοῦ εὐωνύμου, πρώτη μὲν Ἀμύντου τάξις ἦν, ἐπὶ δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ ταύτης, ἡ Μελεάγρου. Τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κρατερὸς ἐπετέτακτο ἄρχειν. Τοῦ δὲ σύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο, καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντῃ ὑπερφαλαγγήσειν αὐτῶν διὰ πλῆθος ἤμελλον. Δαρεῖος δέ, ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος ὡς εἰς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ τοῦ Πινάρου ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμόν, καὶ μετὰ τούτων, τῶν ψιλῶν εἰς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. Καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους, κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις, τῶν Καρδάκων καλουμένων, ἔνθεν καὶ ἔνθεν, ἐς ἑξακισμυρίους. Ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι· τοσούτους γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον, ἵνα ἐτάσσοντο. Ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιόν, ἐς δισμυρίους· καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξάνδρου στρατιᾶς. Τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν, πῇ μὲν διεχώρει ἐς βάθος, καὶ κολπῶδές τι αὐτοῦ, ὥστερ ἐν θαλάττῃ, ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊόν, τοὺς ἐπὶ ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ Ἀλεξάνδρου ἐποίει· τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. Ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Ἀλέξανδρος δέ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ

χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας τούς τε ἑταίρους καλουμένους καὶ τοὺς Θεσσαλοὺς καὶ τοὺς Μακεδόνας, καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρατι ἅμα οἱ ἔταξε. Τοὺς δὲ ἐκ Πελοποννήσου, καὶ τὸ ἄλλο τὸ συμμαχικόν, ἐπὶ τὸ εὐώνυμον πέμπει ἐς Παρμενίωνα. Δαρεῖος δὲ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας, οὓς τινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος· καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρατι πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν· μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. Ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἀπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέγραφεν.

«Ἐν τούτῳ δὲ ὁ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ, ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πελοποννησίους μόνους, καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ καταφανεῖς τοὺς πολεμίους γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. Προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους, ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας, ὧν ἦγεῖτο Ἀρίστων· τῶν δὲ πεζῶν, τοὺς τοξότας, ὧν ἦρχεν Ἀντίοχος· τοὺς δὲ Ἀγριᾶνας, ὧν ἦρχεν Ἄτταλος· καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξοτῶν, ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν. Ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φάλαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε, καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας, τὸ δέ, ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους. Τοῦ δὲ εὐωνύμου, τῶν μὲν πεζῶν, οἵ τε Κρῆτες τοξόται, καὶ οἱ Θρᾷκες, ὧν ἦγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον. Οἱ δὲ μισθοφόροι ξένοι πᾶσιν ἐπετάχθησαν.

«Ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῶν ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ

ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε Ἀνθεδουσίαν, ἧς ἰλάρχης ἦν Περίδας ὁ Μενεσθέως, καὶ τὴν Λαγαίαν καλουμένην, ἧς ἦγεῖτο Ἀντάρδασος ὁ Κλεάνδρου, ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν. Καὶ τοὺς τοξότας δέ, καὶ μέρος τῶν Ἀγριάνων καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν οὓς κατὰ τὸ δεξιὸν τοῦ αὐτοῦ ἐπὶ μετώπου παραγαγών, ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν φάλαγγα. Ἐπὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατήεσαν, ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλίγων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης, ῥαδίως ἀπὸ τῆς ὑπωρείας ἀναστα λέντες, ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δύνατον ἂν χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν.

«Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῶν ἡ πρόσοδος. Τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις, πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. Καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο τοῖς ἀμφ' Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, ἐνταῦθα παριππεύων πάντῃ Ἀλέξανδρος, παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστί· καὶ τῶν ξένων τῶν μισθοφόρων, ὅσοι κατ' ἀξίωσιν, ἤ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν· καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγένετο, μὴ διατρίβειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. Ὁ δὲ ἦγεν ἐν τάξει ἔτι τὰ μὲν πρῶτα, καί περ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν, βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος. Ὡς δὲ ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον, καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος, δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας, καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόντας, ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. Καὶ ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος. Εὐθὺς γὰρ ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περ-

σικοῦ στρατεύματος οἱ τῷ ἀριστερῷ κέρατι ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν ἐνίκα λαμπρῶς Ἀλέξανδρός τε καὶ οἱ ἀμφ' αὐτόν. Οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι, οἱ σὺν Δαρείῳ, ἧ διέσχε τῶν Μακεδόνων ἡ φάλαγξ, ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραρραγεῖσα, (ὅτι Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλών, καὶ ἐν χερσὶ τὴν μάχην ποιήσας, ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν· οἱ δὲ κατὰ μέσον τῶν Μακεδόνων, οὔτε τῇ ἴσῃ σπουδῇ ἤψαντο τοῦ ἔργου, καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες, τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι). Ταύτῃ ἐμβάλλουσιν οἱ Ἕλληνες τοῖς Μακεδόσιν, ἧ μάλιστα διεσπαρμένην αὐτοῖς τὴν φάλαγγα κατεῖδον. Καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας, καὶ τὴν νίκην τοῖς ἤδη φεύγουσι σφῶν ἀνασώσασθαι· τῶν Μακεδόνων δέ, τῆς τε Ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι, καὶ τὴν δόξαν τῆς φάλαγγος ὡς ἀμάχου δὴ εἰς τὸ τότε διαβεβοημένης μὴ ἀφανίσαι. Καί τι καὶ τοῖς γένεσι, τῷ τε Ἑλληνικῷ καὶ τῷ Μακεδονικῷ φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. Καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός τε ὁ Σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατόν, τῶν οὐκ ἠμελημένων Μακεδόνων.

«Ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις, τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου, καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπὸ τοῦ ποταμοῦ ἀπώσαντο αὐτούς· καὶ κατὰ τὸ παρερρωγὸς τοῦ Περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες, ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη, ἔκοπτον τοὺς ξένους· καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θεσσαλοὺς τεταγμένοι, οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θετταλῶν, καὶ ταύτῃ ξυνέστη ἱππομαχία κρατερά· οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ἤσθοντο, καὶ πρὶν ἀπορραγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φέλαγγος. Τότε δὴ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο· καὶ οἵ τε τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν, βαρέως ὡπλισμένους τοὺς ἐμβάντας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁ-

δους, πλήθει τε πολλοί, καὶ πεφοβημένοι, σὺν ἀταξίᾳ ἀποχωροῦντες, οὐ μεῖον ὑπ᾽ ἀλλήλων καταπατούμενοι, ἢ πρὸς τῶν διωκόντων πολεμίων ἐβλάπτοντο, καὶ οἱ Θετταλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο· ὥστε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο. Δαρεῖος δὲ, ὡς αὐτῷ τὸ πρῶτον ὑπ᾽ Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον, καὶ ταύτῃ ἀπορριγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς, ὡς εἶχεν, ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις ἔφευγε· καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. Ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ, καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος· αὐτὸς δὲ ἵππον ἐπιβὰς ἔφευγε. Καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη ἀφεῖλετο αὐτὸν, τὸ πρὸς Ἀλεξάνδρου ἁλῶναι. Ἀλέξανδρος γὰρ, ἔστε μὲν φάος ἦν, ἀνὰ κράτος ἐδίωκεν· ὡς δὲ συνεσκόταζέ τε ἤδη, καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἐτράπετο ὡς ἐπὶ τὸ στρατόπεδον. Τὸ μέν τοι ἅρμα τὸ Δαρείου ἔλαβε, καὶ τὴν ἀσπίδα ἐπ᾽ αὐτῷ, καὶ τὸν κάδυν, καὶ τὸ τόξον. Καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραρρήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς, οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν Περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. Τῶν δὲ Περσῶν ἀπέθανον μὲν Ἀρσάμης καὶ Ρεομίθρης καὶ Ἀτιζύης, τῶν ἐπὶ Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ· ἀποθνήσκει δὲ καὶ Σαβάκης ὁ Αἰγύπτου σατράπης, καὶ Βουβάκης, τῶν ἐντίμων Περσῶν. Τὸ δὲ ἄλλο πλῆθος, εἰς δέκα μάλιστα μυριάδας, καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους· ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος τότε Ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον, ὡς ἐπὶ φάραγγί τινι ἐν τῇ διώξει ἐγένοντο ἐπὶ τῶν νεκρῶν διαβῆναι τήν φάλαγγα. Τό τε στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω, καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ, αὐτὴ δὲ καὶ ἀδελφὴ Δαρείου, καὶ υἱὸς Δαρείου νήπιος, καὶ θυγατέρες δύο ἑάλωσαν, καὶ ἄλλαι ἀμφ᾽ αὐτὰς Περσῶν τῶν ὁμοτίμων γυναῖκες οὐ πολλαί. Οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες. Ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ, καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν

καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκόν· ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια τάλαντα ἑάλω. Ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου, μηνὸς Μαιμακτηριῶνος.

«Τῇ δὲ ὑστεραίᾳ καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος ξίφει, ὅμως δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγών, ἔθαψε μεγαλοπρεπῶς, σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα, ὡς ἐς πόλεμον· καὶ λόγῳ τε ἐπεκόσμησεν, ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ, ἢ αὐτὸς ξυνέγνω εἰργασμένον, ἢ ἀκοῇ συμφωνούμενον ἔλαβε, καὶ χρημάτων ἐπιδόσει ὡς ὡσαύτως σὺν τῇ ἀξίᾳ ἐτίμησε.» 1)

Οἱ κίνδυνοι διὰ τοὺς συνήθεις ἄνδρας παρουσιάζονται ἰδίως μετὰ τὴν ἐπιτυχίαν. Ἕτερος κίνδυνος, ὃν ὁ Ἀλέξανδρος ἔπρεπε νὰ προλάβῃ, ἦν μήπως ὁ Δαρεῖος ἀμέσως σπεύσῃ εἰς τὰς μητροπόλεις τῆς Περσίας καὶ πανηγυρίσῃ τὴν νίκην αὐτοῦ ταύτην. Ἀλλ' ὁ Ἀλέξανδρος ἐγίνωσκεν ὅτι μετὰ τοσοῦτον σκληρὰν προσβολὴν ἠδύνατο ἀτιμωρητεὶ ν' ἀφίσῃ τὸν Δαρεῖον νὰ περιπλανᾶται εἰς τὴν ἄνω Ἀσίαν.

Πρὸ παντὸς ἔπρεπε ν' ἀπομονώσῃ αὐτὸν τοῦ Αἰγαίου Πελάγους καὶ τῆς Ἑλλάδος, ἥτις ἐπρομήθευεν αὐτῷ ἀρίστους στρατιώτας. Οὕτωσὶ δὲ ἐκ τῆς Ἰσσοῦ, ἀκολουθῶν πάντοτε τὸ σχέδιον, ὅπερ διεχάραξεν ἀμέσως μετὰ τὴν ἔναρξιν τοῦ πολέμου, διέρχεται τὴν Κοίλην Συρίαν καὶ διευθύνεται πρὸς τὴν Φοινίκην, ὅθεν μέλλει νὰ καταπτήσῃ τὴν Αἴγυπτον, καταστρέφων οὕτω τὴν ναυτικὴν ἰσχὺν τῶν Περσῶν.

ΓΕΓΟΝΟΤΑ ΣΧΕΤΙΚΑ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ, ΑΠΟ ΤΗΣ ΕΝ ΙΣΣΩ ΜΑΧΗΣ ΜΕΧΡΙ ΤΟΥ ΘΑΝΑΤΟΥ ΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ. — Ἐνταῦθα ὀφείλομεν νὰ ἐγκαταλείψωμεν τὸν μέγαν Ἀλέξανδρον, διότι ἡ κατάκτησις τῆς Μικρᾶς Ἀσίας ὑπὸ τοῦ Μακεδονικοῦ στρατοῦ ἀνάγεται μόνον εἰς τὸ ὅπερ πραγματευόμεθα ἀντικείμενον. Ἀρκόμεθα δὲ μόνον ἀναγράφοντες τὰ γεγονότα τὰ σχε-

(1) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 2, 8—12.

τιζόμενα μετὰ τῆς ἱστορίας τῆς Μικρᾶς Ἀσίας καὶ ἅτινα ἔλαβον χώραν ἀπὸ τῆς ἡμέρας, καθ' ἣν ὁ νικητὴς εἰσῆλθεν εἰς Συρίαν μέχρι τῆς ἡμέρας, καθ' ἣν ὁ θάνατος ἐπῆλθεν αὐτῷ ἐν μέσῳ τῶν κατακτήσεων αὐτοῦ.

Μετὰ τὴν ἐν Ἰσσῷ μάχην, ὁ Βαλακρός, υἱὸς τοῦ Νικάνορος, διωρίσθη σατράπης Κιλικίας· ἡ πόλις τῶν Σόλων κατώρθωσε νὰ ἀποτίσῃ τὰ 50 τάλαντα, ἅτινα ὤφειλε νὰ πληρώσῃ εἰσέτι καὶ οἱ ὅμηροι αὐτῶν ἀπεδόθησαν αὐτῇ. Οἱ Σόλοι ἐφάνησαν ἀγνωμονοῦντες. Κατὰ τὴν πολιορκίαν τῆς Τύρου, τρεῖς τριήρεις τῶν Σόλων καὶ τῆς Μαλλοῦ προσῆλθον μετὰ δέκα ἐκ Λυδίας καὶ δέκα ἐκ Ρόδου πρὸς ἐπαύξησιν τοῦ στόλου τοῦ Ἀλεξάνδρου.

Ἐν Αἰγύπτῳ ὁ Ἀλέξανδρος ἔμαθεν διὰ τοῦ Ἡγηλόχου, ὃν εἶχεν ἀφήσει εἰς Μυσίαν, πρὸς στρατολογίαν ναυτῶν ὅτι προσῆλθε μετὰ τῶν νηῶν αὐτοῦ, ὅτι ἡ Τένεδος ἀπέσεισε καὶ πάλιν τὸν ζυγὸν τῶν Περσῶν, ὃν δὲν ἠδύνατο νὰ ὑποφέρῃ, ὅτι ἡ Χίος ἐκδιώξασα τοὺς ὑπὸ τοῦ Αὐτοφραδάτου καὶ Φαρναβάζου ἐπιβληθέντας αὐτῇ τυράννους, συνέλαβε καὶ ἐν φυλακῇ διατηρεῖ καὶ αὐτὸν τὸν Φαρνάβαζον, καὶ ὅτι ὁ Ἀμφοτέρης ἀπεστάλη παρ' αὐτοῦ εἰς Κῶ μετὰ ἑξήκοντα νηῶν καὶ οἱ Κῶοι ἠναγκάσθησαν νὰ δεχθῶσιν αὐτόν.» 1)

Κατὰ τὴν εἰς Φοινίκην ἐπιστροφήν του, ὁ Ἀλέξανδρος μεταρρυθμίσεις τινας ἐποιήσατο εἰς τὰς σατραπείας τῆς Μικρᾶς Ἀσίας. Ὁ Μένανδρος ἀπεστάλη σατράπης Λυδίας καὶ ὁ Φιλόξενος ἐνετάλη νὰ εἰσπράξῃ τοὺς φόρους τῆς ἐντεῦθεν τοῦ Ταύρου Ἀσίας .2)

Μετὰ τὴν μάχην τῶν Ἀρβιλλῶν, ὁ Μένης ἀπεστάλη εἰς τὰς ἀκτὰς τῆς Συρίας, Φοινίκης καὶ Κιλικίας, ὡς σατράπης, ἐντεταλμένος τὴν διοίκησιν τοῦ στόλου καὶ τὴν διατήρησιν τῆς ἐλευθέρας συγκοινωνίας αὐτοῦ μετὰ τῆς Μακεδονίας 3) καὶ βραδύτερον λαβὼν τὴν διαταγὴν νὰ χορηγήσῃ μεταγωγικὰ πλοῖα εἰς τὸ Θεσσαλικὸν ἱππικὸν καὶ τοὺς ἄλλους συμμάχους, τοὺς ἐπιθυμοῦντας νὰ ἐπανακάμψωσιν εἰς τὴν πατρίδα αὐτῶν 4). Διὰ τοῦ μέτρου τούτου

(1) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 3, 2.
(2) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 3. 6.
(3) Ἀρρ. Ἀναβ. Ἀλεξ. βιβλ. 3, 16.
(4) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 3, 19.

κατώρθωσε ταχύτερον νὰ μεταβιβάζωνται εἰς τὸ κέντρον τῶν νέων αὐτοῦ κρατῶν αἱ ἐπικουρίαι αἵτινες ἐπέμποντο αὐτῷ ἐξ Ἑλλάδος ἢ ἐξ Ἀσίας πρὸς συμπλήρωσιν τῶν κενῶν τοῦ στρατοῦ αὐτοῦ.

Οὕτως ὀλίγον πρὸ τοῦ θανάτου του ὁ μὲν Φιλόξενος πέμπει αὐτῷ στρατὸν ἐκ Καρίας, ὁ δὲ Μένανδρος ἐκ Συρίας 1). Ἡ Μικρὰ Ἀσία, γενομένη Ἑλληνική, ὤφειλε τὸν φόρον τοῦ αἵματος εἰς τὸν ἀρχηγὸν τῶν Ἑλλήνων, ὅστις ἀπηλευθέρωσεν αὐτὴν τοῦ ζυγοῦ τῶν βαρβάρων καὶ ὅστις, ἐὰν δὲν κατέστησεν αὐτὴν ἀνεξάρτητον, ἐξησφάλισεν ὅμως αὐτῇ τὰ ἀγαθὰ τοῦ πολιτισμοῦ.

ΔΙΟΡΓΑΝΩΣΙΣ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ ΕΠΙ ΑΛΕΞΑΝΔΡΟΥ. — Ὡς εἴδομεν ἀνωτέρω, ὁ Ἀλέξανδρος, ἐνόσῳ κατέκτα νέαν τινὰ χώραν, ἀντικαθίστα τὸν σατράπην τῶν Περσῶν διά τινος τῶν ἀξιωματικῶν αὐτοῦ, διατηρῶν αὐτῷ τὸν αὐτὸν τίτλον. Ἀναγράφομεν ὅθεν συνοπτικῶς τὴν διαίρεσιν τῶν κρατῶν τούτων τοιαύτην οἵα ὑπῆρξεν ἐπὶ Περσῶν καὶ διετηρήθη μέχρι τοῦ θανάτου τοῦ Ἀλεξάνδρου.

Φρυγία Ἑλλησποντιὰς καὶ Παμφλαγονία,	σατράπης	Κάλας 2).
Καππαδοκία Δυτική,	σατράπης	Σαβίστας 3).
Μεγάλη Φρυγία	»	Ἀντίγονος ὁ Φιλίππου 4).
Λυδία καὶ Ἰωνία	»	Μένανδρος 5).
Καρία,	»	Ἄδα 6) καὶ εἶτα Φιλόξενος 7).
Λυκία καὶ Παμφυλία	»	Νέαρχος ὁ Ἀνδροτίμου 8)
Πισιδία καὶ Ἰσαυρία	»	Βαλακρὸς ὁ Ἀντίνορος 9)
Κιλικία	»	Μένης 10)

(1) Ἀρρ Ἀνάβ. Ἀλεξ. βιβλ. 7, 23.
(2) Ἀρρ. Ἀνάβ. Ἀλεξ. Βίβλ. 1, 17.
(3) » » » 2, 4
(4) » » » 1, 29.
(5) » » » 1, 17, βιβλ. 3, 6 καὶ βιβλ. 7, 23.
(6) » » » 1, 23.
(7) » » » 7, 23, Ἀριστ. Οἰκον. βιβλ. 2, 32.
(8) » » » 3, 6.
(9) » » » 2, 12. Τὸ πρῶτον σατράπης Κιλικίας, διωρίσθη ἀναμφιβόλως βραδύτερον σατράπης τῆς Πισιδίας, ὅταν ὁ Μένης ἔλαβε τὴν σατραπείαν τῆς Συρίας, Φοινίκης, καὶ Κιλικίας. Διοδ. 18, 22.
(10) Ἀρρ. Ἀνάβ. Ἀλεξ. βιβλ. 3, 16.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ,

Ἀπὸ τοῦ θανάτου τοῦ Ἀλεξάνδρου μέχρι τοῦ θανάτου τοῦ Ἀντιπάτρου (323—418.)

ΔΙΑΝΟΜΗ ΤΩΝ ΕΠΑΡΧΙΩΝ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ ΜΕΤΑ ΤΟΝ ΘΑΝΑΤΟΝ ΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ. — Μετὰ τὸν θάνατον τοῦ Ἀλεξάνδρου (323), οἱ ἀρχαιότεροι τῶν φίλων καὶ ὑπασπιστῶν του ἐσκέφθησαν νὰ διαμερίσωνται τὰς διαφόρους σατραπείας τῆς Αὐτοκρατορίας. Ὁ Περδίκκας, περιβληθεὶς τὴν ἡγεμονίαν τῆς Ἀσίας, προσεκάλεσεν εἰς συνέδριον ἅπαντας τοὺς ἀρχηγοὺς τοῦ στρατοῦ καί, ἐν τῇ διανομῇ τῶν ἐπαρχιῶν, διένειμε καὶ τὰς ἐν τῇ Ἀσίᾳ οὕτως:

Εἰς μὲν τὸν Φιλώταν ἔδωκε τὴν Κιλικίαν, εἰς τὸν Εὐμενῆ τὴν Παφλαγονίαν, τὴν Καππαδοκίαν καὶ τὰς περιχώρους χώρας, ἃς ὁ Ἀλέξανδρος, ὑπὸ τοῦ χρόνου βιαζόμενος, δὲν κατώρθωσε νὰ ὑποτάξῃ κατὰ τὴν πρὸς Δαρεῖον ἐκστρατείαν του, εἰς τὸν Ἀντίγονον τὴν μεγάλην Φρυγίαν, εἰς τὸν Νέαρχον τὴν Λυκίαν καὶ Παφλαγονίαν, εἰς τὸν Ἄσανδρον τὴν Καρίαν, εἰς τὸν Μένανδρον τὴν Λυδίαν καὶ εἰς τὸν Λεοννάτον τὴν ἐφ' Ἑλλησπόντῳ Φρυγίαν.

Πολλὰ τὰ διδόμενα ὅπως πιστεύσωμεν ὅτι ἡ σατραπεία τῆς Πισιδίας καὶ Ἰσαυρίας, περὶ ἧς ἠγνοεῖτο εἰσέτι ἂν ἦτο κενή, βραδύτερον ἐδόθη ὑπὸ τοῦ Περδίκκα εἰς τὸν ἀδελφὸν αὐτοῦ Ἀλκέταν.

Οὕτω σχεδὸν ὅλοι οἱ σατράπαι, οἱ ὑπὸ τοῦ Ἀλεξάνδρου διορισθέντες, διετηρήθησαν εἰς τὰς θέσεις των, ἐκτὸς τριῶν νέων διορισθέντων κατ' ἀνάγκην ἕνεκα τοῦ θανάτου τῶν κατεχόντων αὐτάς, ἤτοι τοῦ Λεοννάτου ἐν τῇ ἐφ' Ἑλλησπόντῳ Φρυγίᾳ, τοῦ Εὐμενοῦς ἐν Καππαδοκίᾳ καὶ τοῦ Φιλώτα ἐν Κιλικίᾳ. Συνετὸν λίαν ἦν ἔργον ἡ μὴ διατάραξις τοῦ διοργανισμοῦ τῶν ἐπαρχιῶν, καθόσον πρὸ παντὸς ἔπρεπε νὰ διακρατήσωσι τοὺς λαοὺς ἐν τῇ ὑποταγῇ, καὶ πρὸς τοῦτο κατάλληλοι ἦσαν οἱ ἀπὸ τῆς κατακτήσεως ἐν χερσὶν ἔχοντες τὰς στρατιωτικὰς δυνάμεις. Ἡ στάσις τῶν Ἑλλήνων οὓς κατῴκισεν ὁ Ἀλέξανδρος ἐν ταῖς σατραπείαις τῆς μείζονος Ἀσίας δὲν

ἐδράδυνε νὰ ἀποδείξῃ ὅτι πρὸ παντὸς νεωτερισμοῦ ἔδει νὰ ὑποστηριχθῇ τὸ οἰκοδόμημα τοιοῦτον οἷον ἀνήγειρεν αὐτὸ ἡ χεὶρ τοῦ Ἀλεξάνδρου.

Ἕτεροι κίνδυνοι ἠπείλουν αὐτό. Οἱ Ρόδιοι ἐξεδίωξαν τὴν Μακεδονικὴν φρουράν. Οἱ Ἀθηναῖοι ἐνήργουν τὸν πόλεμον κατὰ τοῦ Ἀντιπάτρου ὑπὸ τὸ ὄνομα Λαμιακὸν πόλεμον, πρὸς οὓς συνεμάχησαν πολλαὶ ἑλληνικαὶ φυλαί. Πληροφορηθεὶς ὅτι ὁ Κρατερὸς διωρίσθη βοηθὸς αὐτοῦ ἐν τῇ ἡγεμονίᾳ τῆς Εὐρώπης, ὁ Ἀντίπατρος γράφει αὐτῷ ἐν Κιλικίᾳ, ἔνθα ὀλίγον πρὸ τοῦ θανάτου του ὁ Ἀλέξανδρος ἀπέστειλεν αὐτὸν μετὰ τῶν ἀπολελυμένων ἐκ τῆς στρατείας Μακεδόνων, ὄντων ὑπὲρ τοὺς μυρίους, ὅπως πέμψῃ αὐτῷ τάχιστα ἐπικουρίας, ὡς καὶ εἰς τὸν Λεοννάτον, σατράπην τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας, παρακαλῶν νὰ στείλῃ καὶ οὗτος ἐπικουρίας· ἀμφότερα τὰ διαβήματα ταῦτα τοῦ Ἀντιπάτρου ἐπέτυχον. Πρὸς τούτοις ὁ Πτολεμαῖος, σατράπης τῆς Αἰγύπτου, γινώσκων ὅτι Περδίκκας προὐτίθετο νὰ ἐκστρατεύσῃ κατ' αὐτοῦ καὶ προαισθανόμενος ὅτι ἡ ὑποστήριξις τοῦ Ἀντιπάτρου ἠδύνατο νὰ φανῇ αὐτῷ ἀναγκαία, συνάπτει μετ' αὐτοῦ συμμαχίαν, ὑποχρεούμενος νὰ χορηγήσῃ αὐτῷ συνδρομὴν καὶ ἐπικουρίαν.

ΥΠΟΤΑΓΗ ΤΗΣ ΚΑΠΠΑΔΟΚΙΑΣ. — «Ἅμα δὲ τούτοις πραττομένοις Περδίκκας, ἔχων μεθ' ἑαυτοῦ τόν τε βασιλέα Φίλιππον καὶ τὴν βασιλικὴν δύναμιν ἐστράτευσεν ἐπὶ Ἀριαράθην τὸν Καππαδοκίας δυνάστην. Οὗτος γὰρ οὐ προσέχων τοῖς Μακεδόσιν ὑπὸ μὲν Ἀλεξάνδρου περιεωράθη διὰ τοὺς περὶ Δαρεῖον ἀγῶνας καὶ περισπασμούς, ἀναστροφὴν δὲ πολυχρόνιον ἔσχε κυριεύων τῆς Καππαδοκίας· διὸ καὶ πολλὰ μὲν ἐκ τῶν προσόδων χρήματα ἤθροισε, δυνάμεις δ' ἐγχωρίους καὶ ξενικὰς μεγάλας συνεστήσατο· διὸ καὶ βασιλείας ἀντιποιούμενος ἕτοιμος ἦν πρὸς τὸν Περδίκκαν διαγωνίσασθαι, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ μυρίους πεντακισχιλίους. Ὁ δὲ Περδίκκας συνάψας αὐτῷ μάχην καὶ τῇ παρατάξει νικήσας, ἀνεῖλε μὲν εἰς τετρακισχιλίους, ἐζώγρησε δὲ ὑπὲρ τοὺς πεντακισχιλίους, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ Ἀριαράθης. Τοῦτον μὲν οὖν καὶ τοὺς συγγενεῖς αὐτοῦ πάντας αἰκισάμενος ἀνεσταύρωσε. Τοῖς δ' ἥττηθεῖσι συγχωρήσας τὴν ἀσφάλειαν, καὶ καταστήσας τὰ

κατὰ τὴν Καππαδοκίαν παρέδωκε τὴν σατραπείαν Εὐμενεῖ τῷ Καρδιανῷ, καθάπερ ἐξ ἀρχῆς ἦν μεμερισμένος» 1).

ΟΠΕΡΔΙΚΚΑΣ ΕΙΣΕΡΧΕΤΑΙ ΕΙΣ ΠΙΣΙΔΙΑΝ. — ΑΛΩΣΙΣ ΤΩΝ ΛΑΡΑΝΔΩΝ. — Ὁ Περδίκκας προὐχώρησεν ἀκολούθως πρὸς τὴν Πισιδίαν προτιθέμενος νὰ καταστρέψῃ δύο πόλεις, τήν τε τῶν Λαρανδέων καὶ τῶν Ἰσαυρέων, αἵτινες, ζῶντος ἔτι τοῦ Ἀλεξάνδρου, ἐπαναστατήσασαι, εἶχον ἀποκτείνει Φάλαρον τὸν Νικάνορος, ὃν ὁ Ἀλέξανδρος εἶχε διορίσει σατράπην ἅμα καὶ στρατηγόν· ἡ πόλις τῶν Λαρανδέων ἡλώθη ἐξ ἐφόδου, οἱ ἡβῶντες τῶν κατοίκων κατεσφάγησαν, οἱ λοιποὶ ἐξηνδραποδίσθησαν καὶ ἡ πόλις πᾶσα ἐκ θεμελίων κατεστράφη.

ΗΡΩΪΚΗ ΑΝΤΙΣΤΑΣΙΣ ΤΩΝ ΙΣΑΥΡΕΩΝ. — «Τὴν τῶν Ἰσαυρέων πόλιν οὖσαν ἰσχυρὰν καὶ μεγάλην, ἔτι δὲ πλήθουσαν ἀλκίμων ἀνδρῶν ἐπὶ μὲν ἡμέραις δύω πολιορκήσαντες ἐνεργῶς καὶ πολλοὺς τῶν ἰδίων ἀποβαλόντες, ἀνεχώρησαν. Οἱ γὰρ ἐγχώριοι βελῶν καὶ τῶν ἄλλων τῶν πρὸς πολιορκίαν εὐποροῦντες, ἔτι δὲ ταῖς ψυχαῖς ὑπομένοντες, τὸ δεινὸν προστακτικῶς καὶ ἑτοίμως ὑπὲρ τῆς ἐλευθερίας ἀπέθνησκον. Τῇ δὲ τρίτῃ πολλῶν μὲν ἀνηρημένων, τῶν δὲ τειχῶν ἐλλειπεῖς ἐχόντων τὰς φυλακὰς διὰ τὴν δαπάνην τῶν ἀνδρῶν, ἐπετελέσαντο πρᾶξιν οἱ κατὰ τὴν πόλιν ἡρωϊκὴν καὶ μνήμης ἀξίαν. Ὁρῶντες γὰρ ἀπαραίτητον οὖσαν τὴν κατ' αὐτῶν τιμωρίαν, καὶ δύναμιν οὐκ ἔχοντες ἀξιόχρεων τῶν ἀμυνομένων, τὸ μὲν ἐγχειρίσαι τὴν πόλιν καὶ τὰ κατ' αὐτοὺς ἐπιτρέψαι τοὺς πολεμίους οὐκ ἔκριναν, ἐμφανοῦς οὔσης τῆς μεθ' ὕβρεως τιμωρίας, νυκτὸς δ' ὁμοθυμαδὸν πρὸς τὸν εὐγενῆ θάνατον ὁρμήσαντες, τέκνα μὲν καὶ γυναῖκας καὶ γονεῖς εἰς τὰς οἰκίας ἐγκλείσαντες ἐνέπρησαν κοινὸν θάνατον καὶ τάφον διὰ τοῦ πυρὸς ἑλόμενοι· τῆς δὲ φλογὸς ἄφνω πρὸς ὕψος αἰρομένης, οἱ μὲν Ἰσαυρεῖς τὰ κτήματα καὶ πάντα τὰ δυνάμενα τοῖς κρατοῦσιν ὠφελείας παρέχεσθαι τῷ πυρὶ παρέβαλον, οἱ δὲ περὶ τὸν Περδίκκαν θαυμάσαντες τὸ γινόμενον περιέστησαν τὴν δύναμιν καὶ κατὰ πάντα τρόπον ἐβιάζοντο παρεισπεσεῖν εἰς τὴν πόλιν. Τῶν δ' ἐγχωρίων ἀπὸ τῶν τειχῶν ἀμυνομένων καὶ πολλοὺς τῶν

1) Διόδ. Σικελ. βιβλ. 18, 16.

Μακεδόνων καταβαλλόντων, ἔτι μᾶλλον ὁ Περδίκκας καταπληττόμενος ἐζήτει τὴν αἰτίαν δι' ἣν οἱ τὰς οἰκίας καὶ τὰ λοιπὰ πάντα τῷ πορὶ παραδεδοκότες φιλοτίμως τὰ τείχη φυλάττουσι. Τέλος δὲ τοῦ Περδίκκα καὶ τῶν Μακεδόνων ἀπὸ τῆς πόλεως ἀποχωρησάντων, οἱ Ἰσαυρεῖς εἰς τὸ πῦρ ἑαυτοὺς ῥίψαντες ἐν ταῖς οἰκίαις συνετάφησαν τοῖς οἰκείοις. Περδίκκας δὲ νυκτὸς διελθούσης ἔδωκε τοῖς στρατιώταις τὴν πόλιν εἰς διαρπαγήν· οὗτοι δὲ τὴν φλόγα κατασβέσαντες πολὺν ἄργυρόν τε καὶ χρυσὸν εὗρον ὡς ἂν πόλεως γεγενημένης εὐδαίμονος ἐκ πολλῶν χρόνων» 1).

ΟΙ ΒΥΖΑΝΤΙΟΙ ΕΞΑΙΤΟΥΝΤΑΙ ΤΗΝ ΕΠΙΚΟΥΡΙΑΝ ΤΟΥ ΑΧΑΙΟΥ ΕΝ ΤΩ ΠΡΟΣ ΡΟΔΙΟΥΣ ΚΑΙ ΠΡΟΥΣΙΑΝ ΠΟΛΕΜΩ ΑΥΤΩΝ. — Οἱ Βυζάντιοι πιεζόμενοι ὑπὸ τῶν ἀνυποφόρων φόρων, οὓς ὑποχρεοῦντο νὰ καταβάλωσι τοῖς Γαλάταις, τοῖς ἀντικατασταθεῖσιν ἐν Θράκῃ μετὰ τὴν ἐν Δελφοῖς καταστροφήν των, ἐπρέσβευον πρὸς τοὺς Ἕλληνας ζητοῦντες χρηματικὰς συνδρομάς· ἀλλ' ἐπειδὴ οἱ πλεῖστοι ἀπήντησαν ἀρνητικῶς, ἠναγκάσθησαν νὰ ἐπιβάλωσι δασμὸν ἐπὶ πάντων τῶν εἰς Εὔξεινον Πόντον πλεόντων πλοίων. «Μεγάλης δὲ γενομένης τῆς ἀλυσιτελείας καὶ δυσχρηστίας πᾶσιν ἐκ τοῦ τέλος πράττειν τοὺς Βυζαντίους τῶν ἐξαγομένων ἐκ τοῦ Πόντου, δεινὸν ἡγοῦντο καὶ πάντες ἐνεκάλουν οἱ πλοϊζόμενοι τοῖς Ροδίοις διὰ τὸ δοκεῖν τούτοις προεστάναι τῶν κατὰ θάλατταν, ἐξ οὗ συνέβη φῦναι τὸν πόλεμον. Οἱ γὰρ Ρόδιοι, συνεξεγερθέντες ἅμα μὲν διὰ τὴν σφετέραν βλάβην, ἅμα δὲ διὰ τὴν τῶν πέλας ἐλάττωσιν, τὸ μὲν πρῶτον παραλαβόντες τοὺς συμμάχους, ἐπρέσβευον πρὸς τοὺς Βυζαντίους, ἀξιοῦντες καταλύσειν αὐτοὺς τὸ παραγώγιον. Οὐκ ἐντρεπομένων δὲ τοῖς ὅλοις ἀλλὰ πεπεισμένων δίκαια λέγειν, τότε μὲν ἀπηλλάγησαν οἱ Ρόδιοι, περάναντες οὐδέν. Ἐπανελθόντες δὲ τὸν πόλεμον ἐψηφίσαντο τοῖς Βυζαντίοις διὰ τὰς προειρημένας αἰτίας καὶ παραυτίκα πρεσβευτὰς ἐξαπέστελλον πρὸς Προυσίαν, παρακαλοῦντες καὶ τοῦτον εἰς τὸν πόλεμον. Ἦδεσαν γὰρ τὸν Προυσίαν παρατριβόμενον ἔκ τινων πρὸς τοὺς Βυζαντίους.

«Τὸ δὲ παραπλήσιον ἐποίουν καὶ Βυζάντιοι· πρός τε γὰρ Ἄτταλον καὶ πρὸς Ἀχαιὸν ἔπεμπον πρέσβεις, δεόμενοι σφῖσι βοηθεῖν. Ὁ μὲν οὖν Ἄτταλος ἦν πρόθυμος, εἶχε δὲ βραχεῖαν τότε ροπήν, ὡς ἂν ὑπ' Ἀχαιοῦ συνελημένος εἰς τὴν πατρῴαν ἀρχήν. Ὁ δὲ Ἀχαιὸς ἐπηγγέλλετο βοηθήσειν· Ὑπάρχων δ' ἐπὶ ταύτης τῆς προαι-

ρέσεως τοῖς μὲν Βυζαντίοις μεγάλην ἐλπίδα παρεσκεύαζε, τοῖς δὲ Ροδίοις καὶ Προυσίᾳ κατάπληξιν. Οἱ Βυζάντιοι τὸ μὲν πρῶτον ἐρρωμένως ἐπολέμουν πεπεισμένοι τὸν μὲν Ἀχαιὸν σφῖσι βοηθεῖν, αὐτοὶ δὲ ἀντιπεριστήσειν τῷ Προυσίᾳ φόβους καὶ κινδύνους.» 1)

ΤΕΛΟΣ ΤΟΥ ΠΟΛΕΜΟΥ. — «Οἱ Ρόδιοι ὁρῶντες τὸ συνέχον τοῖς Βυζαντίοις τῆς ὁπομονῆς τοῦ πολέμου κείμενον ἐν ταῖς κατὰ τὸν Ἀχαιὸν ἐλπίσι, θεωροῦντες δὲ τὸν πατέρα τοῦ Ἀχαιοῦ κατεχόμενον ἐν Ἀλεξανδρείᾳ, τὸν δὲ Ἀχαιὸν περὶ πλείστου ποιούμενον τὴν τοῦ πατρὸς σωτηρίαν, ἐπεβάλοντο πρεσβεύειν πρὸς τὸν Πτολεμαῖον καὶ παραιτεῖσθαι τὸν Ἀνδρόμαχον· ὁ δὲ Πτολεμαῖος, παραγενομένων τῶν πρέσβεων, ἐβουλεύετο μὲν παρακατέχειν τὸν Ἀνδρόμαχον, ἐλπίζων αὐτῷ χρήσεσθαι πρὸς καιρόν, διὰ τὸ τάτε πρὸς Ἀντίοχον ἄκριτα μένειν αὐτῷ, καὶ τὸ τὸν Ἀχαιὸν ἀναδεδειχότα προσφάτως αὐτὸν βασιλέα, πραγμάτων εἶναι κύριον ἱκανῶν τινων· οὐ μὴν ἀλλὰ προσκλίνων τοῖς Ροδίοις ὁ Πτολεμαῖος κατὰ τὴν ὅλην αἵρεσιν, καὶ πάντα σπεύδων χαρίζεσθαι, συνεχώρησε καὶ παρέδωκε τὸν Ἀνδρόμαχον αὐτοῖς ἀποκομίζειν ὡς τὸν υἱόν. Οἱ δ' ἐπιτελεσάμενοι τοῦτο, καὶ προσεπιμετρήσαντες τοῖς περὶ τὸν Ἀχαιὸν τιμάς τινας παρείλοντο τὴν ὁλοσχερεστάτην ἐλπίδα τῶν Βυζαντίων. Οἱ δὲ Βυζάντιοι, τῶν σφετέρων ἐλπίδων ἐψευσμένοι, τῷ πολέμῳ πονοῦντες πανταχόθεν, ἐξαγωγὴν περιέβλεπον εὐσχήμονα τῶν πραγμάτων. Σπουδάζοντες δὲ καὶ τὴν αὐτῶν πρόθεσιν ἐπὶ τέλος ἀγαγεῖν, διαλύσεις ἐποιήσαντο πρός τε Ἀχαιὸν καὶ Προυσίαν. Ὁ μὲν οὖν Ροδίοις καὶ Προυσίᾳ πρὸς Βυζαντίους συστὰς πόλεμος τοιαύτας ἔλαβε τὰς ἀρχὰς καὶ τὸ τέλος.» 2)

Ο ΑΧΑΙΟΣ ΔΙΑΝΟΕΙΤΑΙ ΝΑ ΚΑΤΑΛΑΒΗ ΤΗΝ ΣΥΡΙΑΝ. — «Ὁ γὰρ Ἀχαιός, καθ' οὓς καιροὺς ἐπὶ τὸν Ἀρταβαζάνην ὁ βασιλεὺς ἐστράτευε, πεισθεὶς καὶ παθεῖν ἄν τι τὸν Ἀντίοχον, καὶ, μὴ παθόντος, ἐλπίσας διὰ τὸ μῆκος τῆς ἀποστάσεως φθάσειν ἐμβαλὼν εἰς Συρίαν, καὶ συνεργοῖς χρησάμενος Κυρρησταῖς τοῖς ἀποστάταις γεγονόσι τοῦ βασιλέως, ταχέως ἂν κρατῆσαι τῶν κατὰ τὴν

(1) Πολυβ. Βιβλ. 4, 46—50.
(2) Πολυβ. Βιβλ. 4, 50—52.

βασιλείαν πραγμάτων, ὥρμησε μετὰ πάσης δυνάμεως ἐκ Λυδίας· παραγενόμενος δ' εἰς Λαοδίκειαν τὴν ἐν Φρυγίᾳ, διάδημά τι περιέθετο, καὶ βασιλεὺς τότε πρῶτον ἐτόλμησε χρηματίζειν καὶ γράφειν πρὸς τὰς πόλεις, Συνίριδος αὐτὸν τοῦ φυγάδος εἰς τοῦτο τὸ μέρος μάλιστα προτρεψαμένου» (219) 1).

Ο ΣΤΡΑΤΟΣ ΑΥΤΟΥ ΑΡΝΕΙΤΑΙ ΝΑ ΤΟΝ ΑΚΟΛΟΥΘΗΣΗ. —ΟΔΗΓΕΙ ΑΥΤΟΝ ΕΙΣ ΠΙΣΙΔΙΚΗΝ. — «Προάγοντος δὲ κατὰ τὸ συνεχὲς αὐτοῦ, καὶ ἤδη σχεδὸν περὶ Λυκαονίαν ὄντος, αἱ δυνάμεις ἐστασίασαν, δυσαρεστούμεναι τῷ δοκεῖν γίγνεσθαι τὴν στρατείαν ἐπὶ τὸν κατὰ φύσιν αὐτῶν ἐξ ἀρχῆς ὑπάρχοντα βασιλέα. Διόπερ ὁ Ἀχαιὸς συνείς, διὰ τὴν ἐν αὐτοῖς διατροπὴν τῆς μὲν προκειμένης ἐπιβολῆς ἀπέστη· βουλόμενος δὲ πεισθῆναι τὰς δυνάμεις, ὡς οὐδ' ἐξ ἀρχῆς ἐπεβάλετο στρατεύειν εἰς Συρίαν, ἐπιστρέψας, πορθεῖ τὴν Πισιδικὴν καὶ πολλὰς ὠφελείας παρασκευάσας τῷ στρατοπέδῳ, πάντας εὔνους αὐτῷ καὶ πεπιστευκότας ἔχων, ἐπανῆλθε πάλιν εἰς τὴν οἰκείαν» 2).

Εἰς Πισιδικὴν ἠναγκάσθη νὰ εἰσέλθῃ ἀφ' ἑτέρου ὁ Ἀχαιὸς ἕνεκα ἑνὸς τῶν ἐμφυλίων ἐκείνων πολέμων, τῶν τοσοῦτον συνεχῶν παρ' Ἕλλησι καὶ ἰδίᾳ ἐν Μικρᾷ Ἀσίᾳ, οὗτινος τὴν ἀφήγησιν διέσωσεν ἡμῖν ὁ ἱστορικὸς Πολύβιος, ἣν καὶ παρ' αὐτοῦ ἐρανιζόμενοι καταχωρίζομεν ἐνταῦθα, ὡς περιέχουσαν περιεργοτάτας γεωγραφικὰς πληροφορίας περὶ τῆς ἧττον γνωστῆς ταύτης ἐπαρχίας τῆς Μικρᾶς Ἀσίας.

Ο ΑΧΑΙΟΣ ΥΠΟΣΤΗΡΙΖΕΙ ΤΟΥΣ ΠΕΔΝΗΛΙΣΣΕΙΣ ΠΟΛΕΜΟΥΝΤΑΣ ΠΡΟΣ ΤΟΥΣ ΣΕΛΓΕΙΣ. — «Κατὰ δὲ τὴν αὐτὴν θερείαν Πεδνηλισσεῖς, πολιορκούμενοι καὶ κινδυνεύοντες ὑπὸ Σελγέων διεπέμψαντο περὶ βοηθείας πρὸς Ἀχαιόν· τοῦ δ' ἀσμένως ὑπακούσαντος, οὗτοι μὲν εὐθαρσῶς ὑπέμενον τὴν πολιορκίαν, προσανέχοντες ταῖς ἐλπίσι τῆς βοηθείας. Ὁ δ' Ἀχαιός, προχειρισάμενος Γαρσυήριν μετὰ πεζῶν ἑξακισχιλίων, ἐξαπέστειλε σπουδῇ παραβοηθήσοντα τοῖς Πεδνηλισσεῦσιν. Οἱ δὲ Σελγεῖς συνέντες τὴν παρουσίαν τῆς

(1) Πολιβ. βιβλ. 5, 56.
(2) Πολυβ. βιβλ. 5, 56.

βοηθείας, προκατελάβοντο τὰ στενὰ τὰ περὶ τὴν καλουμένην Κλίμακα τῷ πλείονι μέρους τῆς ἑαυτῶν δυνάμεως· καὶ τὴν μὲν εἰσβολὴν τὴν ἐπὶ Σάρποδα κατεῖχον, τὰς δὲ διόδους καὶ προσβάσεις πάσας ἔφθειρον. Ὁ δὲ Γαρσύηρις ἐμβαλὼν εἰς τὴν καλουμένην Κρητῶν πόλιν, ἐπεί συνήσθετο, προκατεχομένων τῶν τόπων, ἀδύνατον οὖσαν τὴν εἰς τοὔμπροσθεν πορείαν, ἐπινοεῖ τινα δόλον τοιοῦτον· ἀναζεύξας, ἦγε πάλιν εἰς τοὐπίσω τὴν πορείαν, ὡς ἀπεγνωκὼς τὴν βοήθειαν, διὰ τὸ προκατέχεσθαι τοὺς τόπους. Οἱ δὲ Σελγεῖς προχείρως πιστεύσαντες, ὡς ἀπεγνωκότος βοηθεῖν Γαρσυήριδος, οἱ μὲν εἰς τὸ στρατόπεδον ἀπεχώρησαν οἱ δ' εἰς τὴν πόλιν διὰ τὸ κατεπείγειν τὴν τοῦ σίτου κομιδήν. Ὁ δὲ Γαρσύηρις, ἐξ ἐπιστροφῆς ἐνεργὸν ποιησάμενος τὴν πορείαν, ἦκε πρὸς τὰς ὑπερβολάς· καταλαβὼν δὲ ἐρήμους ταύτας μὲν ἠσφαλίσατο φυλακαῖς, Φάϋλλον ἐπὶ πάντων καταστήσας· αὐτὸς δὲ, μετὰ τῆς στρατιᾶς εἰς Πέργην κατάρας, ἐντεῦθεν ἐποιεῖτο τὰς διαπρεσβείας, πρός τε τοὺς ἄλλους τοὺς τὴν Πισιδικὴν κατοικοῦντας, καὶ πρὸς τὴν Παμφυλίαν, Ὑποδεικνύων μὲν τὸ τῶν Σελγέων βάρος, παρακαλῶν δὲ πάντας πρὸς τὴν Ἀχαιοῦ συμμαχίαν, καὶ πρὸς τὴν βοήθειαν τοῖς Πεδνηλισσεῦσιν.

«Οἱ δὲ Σελγεῖς κατὰ τὸν καιρὸν τοῦτον στρατηγὸν ἐξαποστείλαντες μετὰ δυνάμεως, ἤλπισαν καταπληξάμενοι ταῖς τῶν τόπων ἐμπειρίαις, ἐκβαλεῖν τὸν Φάϋλλον ἐκ τῶν ὀχυρωμάτων· οὐ καθικόμενοι δὲ τῆς προθέσεως, ἀλλὰ πολλοὺς ἀποβαλόντες τῶν στρατιωτῶν ἐν ταῖς προσβολαῖς, ταύτης μὲν τῆς ἐλπίδος ἀπέστησαν, τῇ δὲ πολιορκίᾳ καὶ τοῖς ἔργοις οὐχ' ἧττον, ἀλλὰ μᾶλλον ἢ πρὸ τοῦ, προσεκαρτέρουν. Τοῖς δὲ περὶ Γαρσύηριν, Ἐτεννεῖς μὲν, οἱ τῆς Πισιδικῆς τὴν ὑπὲρ Σίδης ὀρεινὴν κατοικοῦντες, ὀκτακισχιλίους ὁπλίτας ἔπεμψαν, Ἀσπένδοι δὲ τοὺς ἡμίσεις, Σιδῆται δὲ, τὰ μὲν στοχαζόμενοι τῆς πρὸς Ἀντίοχον εὐνοίας, τὸ δὲ πλεῖον διὰ τὸ πρὸς Ἀσπενδίους μῖσος, οὐ μετέσχον τῆς βοηθείας. Ὁ δὲ Γαρσύηρις, ἀναλαβὼν τάς τε τῶν βοηθηκότων καὶ τὰς ἰδίας δυνάμεις, ἦκε πρὸς τὴν Πεδνηλισσὸν, πεπεισμένος, ἐξ ἐφόδου λύσειν τὴν πολιορκίαν· οὐ καταπληττομένων δὲ τῶν Σελγέων, λαβὼν σύμμετρον ἀπόστημα, κατεστρατοπέδευσε. Τῶν δὲ Πεδνηλισσέων πιεζομένων ὑπὸ τῆς ἐνδείας, ὁ Γαρσύηρις σπεύδων ποιεῖν τὰ δυνατὰ, δισχιλίους ἑτοιμάσας ἄνδρας,

καὶ δοὺς ἑκάστῳ μέδιμνον πυρῶν, νυκτὸς εἰς τὴν Πεδνηλισσὸν εἰσέπεμπε. Τῶν δὲ Σελγέων συνέντων τὸ γιγνόμενον καὶ παραβοηθησάντων, συνέβη, τῶν μὲν ἀνδρῶν τῶν εἰσφερόντων κατακοπῆναι τοὺς πλείστους, τοῦ δὲ σίτου παντὸς κυριεῦσαι τοὺς Σελγεῖς. Οἷς ἐπαρθέντες ἐνεχείρησαν οὐ μόνον τὴν πόλιν, ἀλλὰ καὶ τοὺς περὶ τὸν Γαρσύηριν πολιορκεῖν. Ἔχουσι γὰρ δή τι τολμηρὸν ἀεὶ καὶ παράβολον ἐν τοῖς πολεμίοις οἱ Σελγεῖς· δι' ἃ καὶ τότε καταλιπόντες φυλακὴν τὴν ἀναγκαίαν τοῦ χάρακος, τοῖς λοιποῖς περιστάντες κατὰ πλείους τόπους, ἅμα προσέβαλλον εὐθαρσῶς τῇ τῶν ὑπεναντίων παρεμβολῇ. Πανταχόθεν δὲ τοῦ κινδύνου παραδόξως περιεστῶτος κατὰ δέ τινας τόπους καὶ τοῦ χάρακος ἤδη διασπωμένου, θεωρῶν ὁ Γαρσύηρις τὸ συμβαῖνον καὶ μοχθηρὰς ἐλπίδας ἔχων ὑπὲρ τῶν ὅλων, ἐξέπεμψε τοὺς ἱππεῖς κατά τινα τόπον ἀφυλακτούμενον· οὓς νομίσαντες οἱ Σελγεῖς καταπεπληγμένους καὶ δεδιότας τὸ μέλλον ἀποχωρήσειν οὐ προσέσχον, ἀλλ' ἁπλῶς ὠλιγώρησαν· οἱ δὲ, περιϊππεύσαντες καὶ γενόμενοι κατὰ νότου τοῖς πολεμίοις ἐνέβαλον καὶ προσέφερον τὰς χεῖρας ἐρρωμένως· οὗ συμβαίνοντος, ἀναθαρρήσαντες οἱ τοῦ Γαρσυήριδος πεζοὶ, καίπερ ἤδη τετραμμένοι, πάλιν ἐκ μεταβολῆς ἠμύνοντο τοὺς εἰσπίπτοντας· ἐξ οὗ περιεχόμενοι παντα-χόθεν οἱ Σελγεῖς, τέλος εἰς φυγὴν ὥρμησαν. Ἅμα δὲ τούτοις οἱ Πεδνηλισσεῖς ἐπιθέμενοι, τοὺς ἐν τῷ χάρακι περιλειφθέντας ἐξέβαλον· γενομένης δὲ τῆς φυγῆς ἐπὶ πολὺν τόπον, ἔπεσον μὲν οὐκ ἐλάττους μυρίων, τῶν δὲ λοιπῶν, οἱ μὲν σύμμαχοι πάντες εἰς τὴν οἰκίαν, οἱ δὲ Σελγεῖς διὰ τῆς ὀρεινῆς εἰς τὴν αὐτῶν πατρίδα κατέφυγον.

«Ὁ δὲ Γαρσύηρις ἀναζεύξας, ἐκ ποδὸς εἵπετο τοῖς φεύγουσι· σπεύδων διελθεῖν τὰς δυσχωρίας καὶ συνεγγίσαι τῇ πόλει, πρὶν ἢ στῆναι καὶ βουλεύσασθαί τι τοὺς πεφευγότας ὑπὲρ τῆς αὐτοῦ παρουσίας· οὗτος μὲν οὖν ἦκε μετὰ τῆς δυνάμεως πρὸς τὴν πόλιν. Οἱ δὲ Σελγεῖς δυσελπιστοῦντες μὲν ἐπὶ τοῖς συμμάχοις διὰ τὴν κοινὴν περιπέτειαν, ἐκπεπληγμένοι δὲ ταῖς ψυχαῖς διὰ τὸ γεγονὸς ἀτύχημα, περίφοβοι τελέως ἦσαν καὶ περὶ σφῶν αὐτῶν καὶ περὶ τῆς πατρίδος. Διὸ συνελθόντες εἰς ἐκκλησίαν ἐβουλεύσαντο προσβευτὴν ἐκπέμπειν ἕνα τῶν πολιτῶν, Λόγβασιν, ὡς ἐγεγόνει μὲν ἐπὶ πολὺ συνήθης καὶ ξένος Ἀντιόχου, τοῦ μεταλλάξαντος τὸν βίον ἐπὶ Θράκης

δοθείσης δ' ἐν παρακαταθήκῃ καὶ Λαοδίκης αὐτῷ, τῆς Ἀχαιοῦ γενομένης γυναικός, ἐτετρόφει ταύτην ὡς θυγατέρα καὶ διαφερόντως ἐπεφιλοστοργήκει τὴν παρθένον· δι' ἃ νομίζοντες οἱ Σελγεῖς εὐφυέστατον ἔχειν πρεσβευτὴν πρὸς τὰ περιεστῶτα, τοῦτον ἐξαπέστειλαν. Ὃς ποιησάμενος ἰδίᾳ τὴν ἔντευξιν πρὸς Γαρσύηριν, τοσοῦτον κατὰ τὴν προαίρεσιν ἀπέσχε τοῦ βοηθεῖν τῇ πατρίδι κατὰ τὸ δέον, ὥστε τἀναντία παρεκάλει τὸν Γαρσύηριν, σπουδῇ πέμπειν ἐπὶ τὸν Ἀχαιόν, ἀναδεχόμενος ἐγχειριεῖν αὐτοῖς τὴν πόλιν. Ὁ μὲν οὖν Γαρσύηρις δεξάμενος ἑτοίμως τὴν ἐλπίδα, πρὸς μὲν τὸν Ἀχαιὸν ἐξέπεμψε τοὺς ἐπισπασομένους, καὶ διασαφήσοντας περὶ τῶν ἐνεστώτων· πρὸς δὲ τοὺς Σελγεῖς ἀνοχὰς ποιησάμενος, εἵλκε τὸν χρόνον τῶν συνθηκῶν ἀεί, ὑπὲρ τῶν κατὰ μέρος ἀντιλογίας καὶ σκήψεις εἰσφερόμενος, χάριν τοῦ προσδέξασθαι μὲν τὸν Ἀχαιὸν, δοῦναι δὲ ἀναστροφὴν τῷ Λογβάσει πρὸς τὰς ἐντεύξεις καὶ παρασκευὰς τῆς ἐπιβολῆς.

«Κατὰ δὲ τὸν καιρὸν τοῦτον πλεονάκις συμπορευομένων πρὸς ἀλλήλους εἰς σύλλογον, ἐγίγνετό τις συνήθεια τῶν ἐκ τοῦ στρατοπέδου παρεισιόντων πρὸς τὰς σιταρχίας εἰς τὴν πόλιν. Ὃ δὴ καὶ πολλοῖς καὶ πολλάκις ἤδη παραίτιον γέγονε τῆς ἀπωλείας. Καί μοι δοκεῖ πάντων τῶν ζώων εὐπαραλογιστότατον ὑπάρχειν ἄνθρωπος, δοκοῦν εἶναι πανουργότατον· πόσαι μὲν γὰρ παρεμβολαὶ καὶ φρούρια, πόσαι δὲ καὶ πηλίκαι πόλεις, τούτῳ τῷ τρόπῳ παρεσπόνδηται; Καί, τούτων οὕτω συνεχῶς καὶ προφανῶς πολλοῖς ἤδη συμβεβηκότων, οὐκ οἶδ' ὅπως καινοί τινες ἀεὶ καὶ νέοι πρὸς τὰς τοιαύτας ἀπάτας πεφύκαμεν. Τούτου δ' αἴτιόν ἐστιν, ὅτι τὰς τῶν προτέρων ἐπταικότων ἐν ἑκάστοις περιπετείας, οὐ ποιούμεθα προχείρους, ἀλλὰ σίτου μὲν καὶ χρημάτων πλῆθος, ἔτι δὲ τειχῶν καὶ βελῶν κατασκευὰς μετὰ πολλῆς ταλαιπωρίας καὶ δαπάνης ἑτοιμαζόμεθα πρὸς τὰ παράδοξα τῶν συμβαινόντων. Ὃ δ' ἐστὶ ῥᾷστον μὲν τῶν ὄντων, μεγίστας δὲ παρέχεται χρείας ἐν τοῖς ἐπισφαλέσι καιροῖς, τούτου πάντες κατολιγωροῦμεν· καὶ ταῦτα, δυνάμενοι μετ' εὐσχήμονος ἀναπαύσεως ἅμα καὶ διαγωγῆς ἐκ τῆς ἱστορίας καὶ πολυπραγμοσύνης περιποιεῖσθαι τὴν τοιαύτην ἐμπειρίαν. Πλὴν ὁ μὲν Ἀχαιὸς ἦκε πρὸς τὸν καιρόν, οἱ δὲ Σελγεῖς, συμμίξαντες αὐτῷ, μεγάλας ἔσχον ἐλπίδας, ὡς ὁλοσχεροῦς τινος τευξόμενοι φιλανθρωπίας. Ὁ δὲ Λόγβασις ἐν

τούτῳ τῷ καιρῷ κατὰ βραχὺ συνηθροικὼς εἰς τὴν ἰδίαν οἰκίαν, τῶν ἐκ τοῦ στρατοπέδου παρεισιόντων στρατιωτῶν, συνεβούλευε τοῖς πολίταις μὴ παρεῖναι τὸν καιρὸν, ἀλλὰ πράσσειν, βλέποντας εἰς τὴν ὑποδεικνυμένην φιλανθρωπίαν ὑπ' Ἀχαιοῦ, καὶ τέλος ἐπιθεῖναι ταῖς συνθήκαις, πανδημεὶ βουλευσαμένους ὑπὲρ τῶν ἐνεστώτων. Ταχὺ δὲ συναθροισθείσης τῆς ἐκκλησίας, οὗτοι μὲν ἐβουλεύοντο, καλέσαντες καὶ τοὺς ἀπὸ τῶν φυλακείων ἅπαντας, ὡς τέλος ἐπιθήσοντας τοῖς προκειμένοις.

«Ὁ δὲ Λόγβασις, ἀποδοὺς τὸ σύνθημα τοῦ καιροῦ τοῖς ὑπεναντίοις, ἡτοίμαζε τοὺς ἠθροισμένους κατὰ τὴν οἰκίαν· διεσκευάζετο δὲ καὶ καθωπλίζετο μετὰ τῶν υἱῶν αὐτὸς ἅμα πρὸς τὸν κίνδυνον· τῶν δὲ πολεμίων, ὁ μὲν Ἀχαιὸς τοὺς μὲν ἡμίσεις ἔχων, προέβαινε πρὸς αὐτὴν τὴν πόλιν· ὁ δὲ Γαρσύηρις, τοὺς ὑπολειπομένους ἀναλαβὼν, προῆγεν ὡς ἐπὶ τὸ Κεσβέδιον καλούμενον, τοῦτο δ' ἐστί μεν Διὸς ἱερὸν, κεῖται δ' εὐφυῶς κατὰ τῆς πόλεως· ἄκρας γὰρ λαμβάνει διάθεσιν. Συνθεασαμένου δέ τινος κατὰ τύχην αἰπόλου τὸ συμβαῖνον, καὶ προσαγγείλαντος πρὸς τὴν ἐκκλησίαν, οἱ μὲν ἐπὶ τὸ Κεσβέδιον ὥρμων μετὰ σπουδῆς, οἱ δ' ἐπὶ τὰ φυλακεῖα, τὸ δὲ πλῆθος ὑπὸ τὸν θυμὸν ἐπὶ τὴν οἰκίαν τοῦ Λογβάσιος· καταφανοῦς δὲ τῆς πράξεως γενομένης, οἱ μὲν αὐτῶν ἐπὶ τὸ τέγος ἀναβάντες, οἱ δὲ τοῖς αὐλείοις βιασάμενοι, τόν τε Λόγβασιν καὶ τοὺς υἱοὺς, ἅμα δὲ καὶ τοὺς ἄλλους πάντας αὐτοῦ κατεφόνευσαν· μετὰ δὲ ταῦτα κηρύξαντες τοῖς δούλοις ἐλευθερίαν, καὶ διελθόντες σφᾶς αὐτοὺς, ἐβοήθουν ἐπὶ τοὺς εὐκαίρους τῶν τόπων. Ὁ μὲν οὖν Γαρσύηρις, ἰδὼν προκατεχόμενον τὸ Κεσβέδιον ἀπέστη τῆς προθέσεως· τοῦ δ' Ἀχαιοῦ βιαζομένου πρὸς αὐτὰς τὰς πύλας ἐξελθόντες οἱ Σελγεῖς, ἑπτακοσίους μὲν κατέβαλον τῶν Μυσῶν, τοὺς δὲ λοιποὺς ἀπέστησαν τῆς ὁρμῆς· μετὰ δὲ ταύτην τὴν πρᾶξιν, ὁ μὲν Ἀχαιὸς καὶ Γαρσύηρις ἀνεχώρησαν εἰς τὴν αὐτῶν παρεμβολήν. Οἱ δὲ Σελγεῖς, δεδιότες μὲν τὰς ἐν αὐτοῖς στάσεις, δεδιότες δὲ καὶ τὴν τῶν πολεμίων ἐπιστρατοπεδείαν, ἐξέπεμψαν μεθ' ἱκετηριῶν τοὺς πρεσβυτέρους, καὶ σπονδὰς ποιησαμένοι διελύσαντο τὸν πόλεμον ἐπὶ τούτοις. Ἐφ' ᾧ παραχρῆμα μὲν δοῦναι τετρακόσια τάλαντα καὶ τοὺς τῶν Πεδνηλισσέων αἰχμαλώτους· μετὰ δέ τινα χρόνον, ἕτερα προσθεῖναι τρια-

κόσια. Σελγεῖς μὲν δὴ οὖν διὰ τὴν Λογβάσιος ἀσέβειαν τῇ πατρίδι κινδυνεύσαντες, διὰ τὴν σφετέραν εὐτολμίαν τήν τε πατρίδα διετήρησαν, καὶ τὴν ἐλευθερίαν οὐ κατήσχυναν καὶ τὴν ὑπάρχουσαν αὐτοῖς πρὸς Λακεδαιμονίους συγγένειαν.» 1)

Ο ΑΧΑΙΟΣ ΕΠΙΣΤΡΕΦΕΙ ΕΙΣ ΣΑΡΔΕΙΣ. — «Ἀχαιὸς δέ, ποιησάμενος ὑφ' ἑαυτὸν τὴν Μιλυάδα καὶ πλεῖστα μέρη τῆς Παμφυλίας, ἀνέζευξε καὶ παραγενόμενος εἰς Σάρδεις, ἐπολέμει μὲν Ἀττάλῳ, ἀνετείνετο δὲ Προυσίᾳ, πᾶσι δ' ἦν φοβερὸς καὶ βαρὺς τοῖς ἐπὶ τάδε τοῦ Ταύρου κατοικοῦσι».

ΕΠΙΤΥΧΙΑΙ ΤΟΥ ΑΤΤΑΛΟΥ ΚΑΤΑ ΤΗΝ ΑΠΟΥΣΙΑΝ ΤΟΥ ΑΧΑΙΟΥ. — «Κατὰ δὲ τὸν καιρόν, καθ' ὃν Ἀχαιὸς ἐποιεῖτο τὴν ἐπὶ τοὺς Σελγεῖς στρατείαν, Ἄτταλος, ἔχων τοὺς Τεκτοσάγας Γαλάτας, ἐπεπορεύετο τὰς κατὰ τὴν Αἰολίδα πόλεις καὶ τὰς συνεχεῖς ταύταις, ὅσαι πρότερον Ἀχαιῷ προσεκεχωρήκεισαν διὰ τὸν φόβον· ὧν αἱ μὲν πλείους ἐθελοντὶ αὐτῷ προσέθεντο καὶ μετὰ χάριτος, ὀλίγαι δέ τινες τῆς βίας προσεδεήθησαν. Ἦσαν δὲ δὴ τότε μεταθέμεναι πρὸς αὐτόν, πρῶτον μὲν Κύμη καὶ Σμύρνα καὶ Φώκαια· μετὰ δὲ ταύτας, Αἰγαιεῖς καὶ Τημνῖται προσεχώρησαν, καταπλαγέντες τὴν ἔφοδον· ἦκον δὲ καὶ παρὰ Τηΐων καὶ Κολοφωνίων πρέσβεις, ἐγχειρίζοντες σφᾶς αὐτοὺς καὶ τὰς πόλεις· προσδεξάμενος δὲ καὶ τούτους ἐπὶ ταῖς συνθήκαις,αἷς καὶ τὸ πρότερον, καὶ λαβὼν ὁμήρους, ἐχρημάτισε τοῖς παρὰ τῶν Σμυρναίων πρεσβευταῖς φιλανθρώπως διὰ τὸ μάλιστα τούτους τετηρηκέναι τὴν πρὸς αὐτὸν πίστιν. Προελθὼν δὲ κατὰ τὸ συνεχές, καὶ διαβὰς τὸν Λύκον ποταμόν, προῆγεν ἐπὶ τὰς τῶν Μυσῶν κατοικίας· ἀπὸ δὲ τούτων γενόμενος, ἦκε πρὸς Καρσέας· καταπληξάμενος δὲ τούτους, ὁμοίως τε καὶ τοὺς τὰ Δίδυμα τείχη φυλάττοντας, παρέλαβε καὶ ταῦτα τὰ χωρία, Θεμιστοκλέους αὐτὰ παραδόντος, ὃς ἐτύγχανε στρατηγὸς ὑπ' Ἀχαιοῦ καταλελειμμένος τῶν τόπων τούτων· ὁρμήσας δὲ ἐντεῦθεν, καὶ κατασύρας τὸ Ἀπίας πεδίον, ὑπερέβαλε τὸ καλούμενον ὄρος Πελεκᾶντα, καὶ κατέζευξε περὶ τὸν Μέγιστον ποταμόν» 2) πιθανῶς ἐπὶ τοῦ πεδίου

(1) Πολυβ. βιβλ. 5, 72—77.
(2) Πολυβ. βιβλ. 5, 77.

τῆς Αἰξωνης. Ἴσως ἐν τῇ θέσει ταύτῃ θὰ ἀνέμενε τὴν κατάλληλον στιγμὴν ὅπως κλείσῃ τὴν διάβασιν τοῦ Ἀχαιοῦ, ἐπιστρέφοντος ἐκ Πισιδικῆς, καὶ ἐκδικηθῇ διὰ τῆς αἰφνιδίας ταύτης προσβολῆς τὴν ἤτταν αὐτοῦ.

Ο ΑΤΤΑΛΟΣ ΟΔΗΓΕΙ ΤΟΥΣ ΕΠΙΚΟΥΡΟΥΣ ΑΥΤΟΥ ΓΑΛΑΤΑΣ ΕΠΙ ΤΩΝ ΟΧΘΩΝ ΤΟΥ ΕΛΛΗΣΠΟΝΤΟΥ. — «Οὗ γενομένης ἐκλείψεως σελήνης, πάλαι δυσχερῶς φέροντες οἱ Γαλάται τὰς ἐν ταῖς πορείαις κακοπαθείας, ἅτε ποιούμενοι τὴν στρατείαν μετὰ γυναικῶν καὶ τέκνων, ἑπομένων αὐτοῖς τούτων ἐν ταῖς ἁμάξαις· τότε σημειωσάμενοι τὸ γεγονός, οὐκ ἂν ἔφασαν ἔτι προελθεῖν εἰς τὸ πρόσθεν. Ὁ δὲ βασιλεὺς Ἄτταλος, χρείαν μὲν ἐξ αὐτῶν οὐδεμίαν ὁλοσχερῆ κομιζόμενος, θεωρῶν δ' ἀποσπωμένους ἐν ταῖς πορείαις, καὶ καθ' ἑαυτοὺς στρατοπεδεύοντας, καὶ τὸ ὅλον ἀπειθοῦντας καὶ πεφρονηματισμένους, εἰς ἀμηχανίαν ἐνέπιπτεν οὐ τὴν τυχοῦσαν. Ἅμα μὲν γὰρ ἠγωνία μὴ πρὸς τὸν Ἀχαιὸν ἀπονεύσαντες συνεπίθωνται τοῖς αὐτοῦ πράγμασιν· ἅμα δ' ὑφεωρᾶτο τὴν ἐξακολουθοῦσαν αὐτῷ φήμην, ἐὰν περιστήσας τοὺς στρατιώτας διαφθείρῃ πάντας τοὺς δοκοῦντας διὰ τῆς ἰδίας πίστεως πεποιῆσθαι τὴν εἰς τὴν Ἀσίαν διάβασιν. Διὸ τῆς προειρημένης ἀφορμῆς λαβόμενος, ἐπηγγείλατο, κατὰ μὲν τὸ παρὸν ἀποκαταστήσειν αὐτοὺς πρὸς τὴν διάβασιν, καὶ τόπον δώσειν εὐφυῆ πρὸς κατοικίαν· μετὰ δὲ ταῦτα συμπράξειν εἰς ὁπόσα ἂν αὐτὸν παρακαλῶσι τῶν δυνατῶν καὶ καλῶς ἐχόντων. Ἄτταλος μὲν οὖν, ἀποκαταστήσας τοὺς Τεκτοσάγας εἰς τὸν Ἑλλήσποντον, καὶ χρηματίσας φιλανθρώπως Λαμψακηνοῖς, Ἀλεξανδρεῦσιν, Ἰλιεῦσι διὰ τὸ τετηρηκέναι τούτους τὴν πρὸς αὐτὸν πίστιν, ἀνεχώρησε μετὰ τῆς δυνάμεως εἰς Πέργαμον» 1).

ΗΤΤΩΝΤΑΙ ΥΠΟ ΤΟΥ ΠΡΟΥΣΙΑ. — Οἱ Γαλάται οὗτοι, ἀφικόμενοι εἰς τὰς ὄχθας τοῦ Ἑλλησπόντου, ἤρξαντο λεηλατοῦντες τὰς πόλεις τῶν παρακτίων, πολιορκήσαντες καὶ τὸ Ἴλιον. Ἀλλ' οἱ τὴν ἐν Τρῳάδι Ἀλεξάνδρειαν οἰκοῦντες ἐξαποστείλαντες τὸν Θεμίστην μετ' ἀνδρῶν 4χιλίων ἔλυσαν μὲν τὴν πολιορκίαν τῶν Ἰλιέων, ἐξέβαλον δὲ καὶ τῆς Τρῳάδος τοὺς Γαλάτας, οἵτινες, κατασχόντες τὴν τῶν

(1) Πολυβ. βιβλ. 5, 78.

Ἀβυδινῶν χώραν Ἀρίσβην, ἐπεβουλεύοντο καὶ προσεπολέμουν ταῖς περὶ τοὺς τόπους τούτους πόλεσιν. Ὁ βασιλεὺς τῆς Βιθυνίας Προυσίας στρατεύσας ἐπ' αὐτοὺς μετὰ δυνάμεως καὶ παραταξάμενος τοὺς μὲν ἄνδρας ἀπέκτεινεν ἐν τῇ μάχῃ, τὰ δὲ τέκνα καὶ τὰς γυναῖκας αὐτῶν κατέσφαξε, διανείμας τὰς ἀποσκευὰς αὐτῶν εἰς τοὺς μετ' αὐτοῦ ἀγωνισαμένους (216). Ἡ ἔνδοξος αὕτη ἐκστρατεία ἀπήλλαξε τὸν Ἑλλήσποντον τοῦ ἐπαπειλοῦντος αὐτὸν κινδύνου, καλὸν λὸν παράδειγμα τοῖς ἐπιγιγνομένοις ἀπολιποῦσα τοῦ μὴ ῥᾴδιαν ποιεῖσθαι τοὺς ἐκ τῆς Εὐρώπης βαρβάρους τὴν εἰς τὴν Ἀσίαν διάβασιν.

ΝΕΟΣ ΠΟΛΕΜΟΣ ΤΟΥ ΑΧΑΙΟΥ ΚΑΤΑ ΤΟΥ ΑΤΤΑΛΟΥ.— Ἐντοσούτῳ ἐπανακάμψας εἰς Σάρδεις, ὁ Ἀχαιὸς ἤρξατο πάλιν τὸν κατὰ τοῦ Ἀττάλου πόλεμον, ὃν κατεδίωκεν ἀδιακόπως. Ἠπείλησεν ὡσαύτως τὸν Προυσίαν ὅστις ἀπὸ τῆς νίκης του ἤρξατο ἐπισκιάζων τὸν φιλόδοξον κατακτητὴν τῆς Μικρᾶς Ἀσίας. Ἀπέβη προσέτι ἐπιφοβώτερος τοῖς ἐπὶ τάδε τοῦ Ταύρου κατοικοῦσι καὶ ἤρξατο νέας ῥαδιουργίας σκευωρῶν μετὰ τοῦ βασιλέως τῆς Αἰγύπτου, ὁπότε ὁ Ἀντίοχος ἐσκέφθη τέλος νὰ τὸν τιμωρήσῃ. Ἡ εἰρήνη, ἣν εἶχε συνάψει μετὰ τοῦ Πτολεμαίου τοῦ Α΄, μετὰ τὴν ἐν Ραφίᾳ μάχην (217) διετήρει διαθεσίμους τὰς δυνάμεις αὐτοῦ. Ἐστράφη ὅθεν κατὰ τοῦ ἀποστάτου σατράπου.

ΑΝΤΙΟΧΟΣ Ο Γ΄ ΑΦΙΚΝΕΙΤΑΙ ΕΙΣ ΜΙΚΡΑΝ ΑΣΙΑΝ ΟΠΩΣ ΤΙΜΩΡΗΣΗ ΤΟΝ ΑΧΑΙΟΝ.—ΠΟΛΙΟΡΚΙΑ ΚΑΙ ΛΩΣΙΣ ΤΩΝ ΣΑΡΔΕΩΝ.—Ὁ Ἀντίοχος, ἀφοῦ τὸν χειμῶνα παρεσκευάσθη, διεπέρασε τὸν Ταῦρον περὶ τὰς ἀρχὰς τοῦ ἔαρος (216), συνεμάχησε μετὰ τοῦ Ἀττάλου, βασιλέως τῆς Περγάμου, κατὰ τοῦ κοινοῦ ἐχθροῦ καὶ ἤρξατο τοῦ πολέμου. Ὁ Ἀχαιὸς βιασθεὶς ἠναγκάσθη νὰ ἐγκαταλείπῃ τὸ πεδίον καὶ περικλεισθῇ εἰς Σάρδεις, ἃς στενῶς ἤρξατο πολιορκῶν ὁ Ἀντίοχος.

«Περὶ δὲ τὰς Σάρδεις ἄπαυστοι καὶ συνεχεῖς ἀκροβολισμοὶ συνίσταντο καὶ κίνδυνοι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν πᾶν γένος ἐνέδρας, ἀντενέδρας, ἐπιθέσεως, ἐξευρισκόντων τῶν στρατιωτῶν κατ' ἀλλήλων· περὶ ὧν γράφειν τὰ κατὰ μέρος, οὐ μόνον ἀνωφελές, ἀλλὰ καὶ μακρὸν ἂν εἴη τελέως. Τὸ δὲ πέρας, ἦλθε τῆς πολιορκίας δεύτερον ἔτος ἐνεστώσης, Λαγόρας ὁ Κρής, τριβὴν ἔχων ἐν τοῖς πολε-

μικοῖς ἱκανήν, καὶ συνεωρακώς, ὅτι συμβαίνει τὰς ὀχυρωτάτας πόλεις ὡς ἐπὶ τὸ πολὺ ῥᾷστα γίγνεσθαι τοῖς πολεμίοις ὑποχειρίους διὰ τὴν ὀλιγωρίαν τῶν ἐνοικούντων, ὅταν, πιστεύσαντες ταῖς ὀχυρότησι ταῖς φυσικαῖς ἢ χειροποιήτοις, ἀφυλακτῶσι καὶ ῥαθυμῶσι τὸ παράπαν, καὶ τοῦτο δ' αὖ ἐπεγνωκώς, διότι συμβαίνει τὰς ἁλώσεις γίγνεσθαι κατὰ τοὺς ὀχυρωτάτους τόπους, καὶ δοκοῦντας ὑπὸ τῶν ἐναντίων ἀπηλπίσθαι· καὶ τότε θεωρῶν, κατὰ τὴν προϋπάρχουσαν δόξαν περὶ τῆς τῶν Σάρδεων ὀχυρότητος ἅπαντας ἀπεγνωκότας ὡς διὰ τοιαύτης πράξεως κυριεύσειν αὐτῆς, μίαν δὲ ταύτην ἔχοντας ἐλπίδα τοῦ διὰ τῆς ἐνδείας κρατήσειν τῆς πόλεως· τοσούτῳ μᾶλλον προσεῖχε, καὶ πάντα τόπον ἠρεύνα, σπεύδων ἀφορμῆς τινος ἐπιλαβέσθαι τοιαύτης. Συνθεωρῶν δὲ τὸ κατὰ τὸν καλούμενον Πρίονα τεῖχος ἀφυλακτούμενον (οὗτος δ' ἐστὶ τόπος, ὁ συνάπτων τὴν ἄκραν καὶ τὴν πόλιν), ἐγίγνετο περὶ τὴν ἐλπίδα καὶ τὴν ἐπίνοιαν ταύτην. Τὴν μὲν οὖν τῶν φυλαττόντων ῥαθυμίαν ἐκ τοιούτου τινος σημείου συνεθεώρησεν. Τοῦ τόπου κρημνώδους ὑπάρχοντος διαφερόντως, καὶ φάραγγος ὑποκειμένης, εἰς ἣν ριπτεῖσθαι συνέβαινε τοὺς ἐκ τῆς πόλεως νεκρούς, καὶ τὰς τῶν ἵππων καὶ τὰς τῶν ὑποζυγίων τῶν ἀποθνησκόντων κοιλίας· εἰς τοῦτον ἀεὶ τὸ τῶν γυπῶν καὶ τῶν ἄλλων ὀρνέων, πλῆθος ἠθροίζετο· συνθεωρήσας οὖν ὁ προειρημένος ἀνήρ, ὅτι πληρωθείη τὰ ζῶα, τὰς ἀναπαύσεις ἐπὶ τῶν κρημνῶν καὶ τοῦ τείχους ποιούμενα συνεχῶς, ἔγνω, διότι κατ' ἀνάγκην ἀφυλακτεῖται τὸ τεῖχος, καὶ γίγνεται τὸν πλεῖστον χρόνον ἔρημον λοιπὸν ἐπιμελῶς, τὴν νύκτα προσπορευόμενος ἐξήταζε τὰς προσβάσεις καὶ θέσεις τῶν κλιμάκων· εὑρίσκων δὲ κατά τινα τόπον καὶ καθ' ἕνα τῶν κρημνῶν δυνατὴν οὖσαν, προσφέρει τῷ βασιλεῖ τὸν περὶ τούτων λόγον.

«Τοῦ δὲ δεξαμένου τὴν ἐλπίδα, καὶ παρακαλέσαντος τὸν Λαγόραν ἐπιτελεῖν τὴν πρᾶξιν, αὐτὸς μὲν ὑπισχνεῖτο τὰ δυνατὰ ποιήσειν· ἠξίου δὲ τὸν βασιλέα, Θεόδοτον αὐτῷ τὸν Αἰτωλὸν καὶ Διονύσιον τὸν ἡγεμόνα τῶν ὑπασπιστῶν παρακελεύσαντα συστῆσαι, συνεπιδοῦναι σφᾶς καὶ κοινωνῆσαι τῆς ἐπιβολῆς, διὰ τὸ δοκεῖν ἑκάτερον ἱκανὴν δύναμιν ἔχειν καὶ τόλμαν πρὸς τὴν ἐπινοουμένην πρᾶξιν. Τοῦ δὲ βασιλέως παραχρῆμα ποιήσαντος τὸ παρακαλούμενον, σωφρα-

νήσαντες οἱ προειρημένοι, καὶ κοινωσάμενοι περὶ πάντων ἑαυτοῖς, ἐτήρουν νύκτα τὸ περὶ ἑωθινὴν μέρος ἔχουσα ἀσέληνον· λαβόντες δὲ τοιαύτην, ἐν ᾗ πράττειν ἔμελλον ἡμέρᾳ, τῇ πρότερον ὀψίας δείλης ἐπέλεξαν ἐκ παντὸς τοῦ στρατοπέδου πεντεκαίδεκα τοὺς εὐρωστοτάτους ἄνδρας καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς· οἵτινες ἔμελλον ἅμα μὲν προσοίσειν τὰς κλίμακας, ἅμα δὲ συναναβήσεσθαι καὶ μεθέξειν αὐτοῖς τῆς τόλμης· μετὰ δὲ τούτους ἄλλους ἐπελέξαντο τριάκοντα, τοὺς ἐν ἀποστήματι συνεφεδρεύσοντας, ἵν' ἐπειδὰν ὑπερβάντες αὐτοὶ πρὸς τὴν παρακειμένην παραγένωνται πόλην, οὗτοι μὲν ἔξωθεν προσπεσόντες πειρῶνται διακόπτειν τοὺς στροφεῖς καὶ τὸ ζύγωμα τῶν πυλῶν, αὐτοὶ δὲ τὸν μοχλὸν ἔνδοθεν καὶ τὰς βαλανάγρας· δισχιλίους δέ, τοὺς κατόπιν ἀκολουθήσοντας τούτους, οἷς συνεισπεσόντας ἔδει καταλαβέσθαι τὴν τοῦ θεάτρου στεφάνην, εὐφυῶς κειμένην πρός τε τοὺς ἐκ τῆς ἄκρας, καὶ πρὸς τοὺς ἐκ τῆς πόλεως· τοῦ δὲ μὴ γενέσθαι μηδεμίαν ὑποψίαν τῆς ἀληθείας διὰ τὴν ἀπολογίαν τῶν ἀνδρῶν, διέδωκε λόγον, ὡς τοὺς Αἰτωλοὺς μέλλοντας εἰσπίπτειν διά τινος φάραγγος εἰς τὴν πόλιν. καὶ δέον ἐνεργῶς τούτους παραφυλάξαι πρὸς τὸ μηνυθέν.

«Ἑτοίμων δὲ πάντων αὐτοῖς γενομένων, ἅμα τῷ κρυφθῆναι τὴν σελήνην, λάθρα πρὸς τοὺς κρημνοὺς οἱ περὶ τὸν Λαγόραν ἀφικόμενοι μετὰ τῶν κλιμάκων, ὑπέστειλαν ἑαυτοὺς ὑπό τινα προπεπτωκυῖαν ὀφρύν. Ἐπιγενομένης δὲ τῆς ἡμέρας, καὶ τῶν μὲν φυλακῶν ἀπολυομένων ἀπὸ τοῦ τόπου τούτου, τοῦ δὲ βασιλέως κατὰ τὸν ἐθισμὸν τοὺς μὲν εἰς τὰς ἐφεδρείας ἐκπέμποντος, τοὺς δὲ πολλοὺς εἰς τὸν ἱππόδρομον ἐξαγαγόντος καὶ παρατάττοντος· τὸ μὲν πρῶτον ἀνύποπτον ἦν πᾶσι τὸ γενόμενον· προστεθεισῶν δὲ δυοῖν κλιμάκων, καὶ δι' ἧς μὲν Διονύσου, δι' ἧς δὲ Λαγόρα πρῶτον πορευομένων ἐγίγνετο ταραχὴ καὶ κίνημα περὶ τὸ στρατόπεδον. Συνέβαινε γὰρ τοῖς μὲν ἐκ τῆς πόλεως καὶ τοῖς περὶ τὸν Ἀχαιὸν ἐκ τῆς ἄκρας, ἀδήλους εἶναι τοὺς προσβαίνοντας διὰ τῆς προπεπτωκυίας ἐπὶ τὸν κρημνὸν ὀφρύος· τοῖς δ' ἐκ τοῦ στρατοπέδου σύνοπτος ἦν ἡ τόλμα τῶν ἀναβαινόντων καὶ παραβαλλομένων, διό περ οἱ μὲν ἐκπεπληγμένοι τὸ παράδοξον, οἱ δὲ προορώμενοι καὶ δεδιῶτες τὸ συμβησόμενον, ἀχανεῖς, ἅμα δὲ περιχαρεῖς ὄντες ἔστασαν· ὅθεν ὁ βασιλεὺς θεω-

ρῶν τὸ περὶ τὴν ὅλην παρεμβολὴν κίνημα καὶ βουλόμενος ἀποσπᾶν ἀπὸ τοῦ προκειμένου τούς τε παρ' αὐτοῦ καὶ τοὺς ἐπὶ τῆς πόλεως, προῆγε τὴν δύναμιν, καὶ προσέβαλε πρὸς τὰς ἐπὶ θάτερα πύλας κειμένας, Περσίδας δὲ προσαγορευομένας. Ἀχαιὸς δὲ, συνθεωρῶν ἐκ τῆς ἄκρας τὸ περὶ τοὺς ὑπ' ἐναντίους κίνημα, παρηλλαγμένον τῆς συνηθείας, ἐπὶ πολὺ διηπορεῖτο δυσχρηστούμενος, καὶ συννοῆσαι τὸ γιγνόμενον οὐδαμῶς δυνάμενος· πλὴν ὅμως ἐξαπέστειλε τοὺς ἀπαντήσοντας εἰς τὴν πύλην, ὧν διὰ στενῆς καὶ κρημνώδους ποιουμένων τὴν κατάβασιν, βραδεῖαν συνέβαινε γίγνεσθαι τὴν ἐπικουρίαν. Ὁ δ' ἐπὶ τῆς πόλεως τεταγμένος Ἀρίβαζος, ἀκάκως ὥρμησε πρὸς τὰς πύλας, ὡς ἑώρα προσβάλλοντα τὸν Ἀντίοχον· καὶ τοὺς μὲν ἐπὶ τὸ τεῖχος ἀνεβίβαζε, τοὺς δὲ διὰ τῆς πύλης ἀφιεὶς, εἴργειν τοὺς συνεγγίζοντας καὶ συμπλέκεσθαι παρεκελεύετο τοῖς πολεμίοις.

«Κατὰ δὲ τὸν καιρὸν τοῦτον οἱ περὶ τὸν Λαγόραν καὶ Θεόδοτον καὶ Διονύσιον, ὑπερβάντες τοὺς κρημνούς, ἦκον ἐπὶ τὴν ὑποκειμένην πύλην· καὶ τινὲς μὲν αὐτῶν διεμάχοντο πρὸς τοὺς ἀπαντῶντας, οἱ δὲ διέκοπτον τοὺς μοχλούς, ἅμα δὲ τούτοις προσπεσόντες ἔξωθεν οἱ τεταγμένοι πρὸς τοῦτο τὸ μέρος, τὸ παραπλήσιον ἐποίουν. Ταχὺ δὲ τῶν πυλῶν ἀνοιχθεισῶν, εἰσελθόντες οἱ δισχίλιοι κατελάβοντο τὴν τοῦ θεάτρου στεφάνην· οὗ γιγνομένου πάντες ὥρμησαν ἀπὸ τῶν τειχῶν καὶ τῆς Περσίδος προσαγορευομένης πύλης, ἐφ' ἣν πρότερον ἐβοήθησαν οἱ περὶ τὸν Ἀρίβαζον, σπεύδοντες παρεγγυᾶν ἐπὶ τοὺς εἰσπεπτωκότας. Τούτου δὲ συμβαίνοντος, κατὰ τὴν ἀποχώρησιν ἀνεῳγμένης τῆς πύλης, συνεισέπεσόν τινες τῶν παρὰ τοῦ βασιλέως, ἑπόμενοι τοῖς ὑποχωροῦσιν· ὧν κρατησάντων τῆς πύλης, ἤδη τούτοις κατὰ τὸ συνεχὲς οἱ μὲν εἰσέπιπτον, οἱ δὲ τὰς παρακειμένας διέκοπτον πύλας. Οἱ δὲ περὶ τὸν Ἀρίβαζον, καὶ πάντες οἱ κατὰ τὴν πόλιν ἐπὶ βραχὺ διαγωνισάμενοι πρὸς τοὺς εἰσεληλυθότας, ὥρμησαν φεύγειν πρὸς τὴν ἄκραν. Οὗ συμβάντος, οἱ μὲν περὶ τὸν Θεόδοτον καὶ Λαγόραν ἔμενον ἐπὶ τῶν κατὰ τὸ θέατρον τόπων· νουνεχῶς καὶ πραγματικῶς ἐφεδρεύοντες τοῖς ὅλοις, ἡ δὲ λοιπὴ δύναμις, ἐπιπεσοῦσα πανταχόθεν ἅμα, κατειλήφει τὴν πόλιν· καὶ τὸ λοιπὸν ἤδη, τῶν μὲν φονευόντων τοὺς ἐντυγχάνοντας, τῶν δὲ τὰς οἰκήσεις ἐμπιπρώντων, ἄλλων δὲ πρὸς τὰς ἁρπαγὰς καὶ τὰς ὠφε-

λείας ὡρμηκότων, ἐγίγνετο παντελὴς ἡ τῆς πόλεως καταφθορὰ καὶ διαρπαγή. Καὶ Σάρδεων μὲν τοῦτον τὸν τρόπον ἐγένετο κύριος Ἀντίοχος.» 1)

ΠΤΟΛΕΜΑΙΟΣ Ο Δ΄ ΠΡΟΣΠΑΘΕΙ ΝΑ ΕΛΕΥΘΕΡΩΣΗ ΤΟΝ ΑΧΑΙΟΝ. — Ὁ Πτολεμαῖος πληροφορηθεὶς ὅτι ἡλώθησαν αἱ Σάρδεις καὶ ὁ Ἀχαιὸς στενῶς πολιορκεῖται ἐν τῇ ἀκροπόλει, κατανοῶν δ' ὅτι ἔμελλε ν' ἀπωλέσῃ σύμμαχον νοημονέστατον καὶ θρασύν, δυνάμενον νὰ βοηθήσῃ αὐτὸν σπουδαίως ἐν περιπτώσει ἐπαναλήψεως τοῦ ἐν Συρίᾳ πολέμου, ἐβουλήθη νὰ ἐλευθερώσῃ αὐτόν, πεποιθὼς ἤδη ὅτι, ἐλευθερούμενος οὗτος, θὰ κατώρθου νὰ ἐκδιώξῃ τὸν Ἀντίοχον καὶ ἀνακτήσῃ τὴν προτέραν αὐτοῦ ἰσχὺν ἐν ταῖς ἐπὶ τάδε τοῦ Ταύρου ἐπαρχίαις. Τὰ γεγονότα ταῦτα ἀνάγονται εἰς τὴν κυρίως ἱστορίαν τῆς Μικρᾶς Ἀσίας καὶ ἀνεγράφησαν μετὰ πολλοῦ τοῦ ἐνδιαφέροντος ὑπὸ τοῦ Πολυβίου, ἐξ οὗ καὶ ἐρανιζόμεθα τὴν ἀφήγησιν αὐτῶν.

«Βῶλις ἦν ἀνὴρ γένει μὲν Κρής, χρόνον δὲ πολὺν ἐν τῇ βασιλείᾳ διατετριφὼς ἐν ἡγεμονικῇ προστασίᾳ, δοκῶν δὲ καὶ σύνεσιν ἔχειν καὶ τόλμαν παράβολον, καὶ τριβὴν ἐν τοῖς πολεμικοῖς οὐδενὸ ἐλάττω· τούτων ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιστωσάμενος, καὶ παρασκευάσας εὔνουν ἑαυτῷ καὶ πρόθυμον, ἀναδίδωσι τὴν πρᾶξιν, λέγων, ὡς οὐδὲν ἂν τῷ βασιλεῖ μείζων χαρίσαιτο κατὰ τοὺς ἐνεστῶτας καιροὺς ἢ συνεπινοήσας πῶς καὶ τίνι τρόπῳ δύναται σῶσαι τὸν Ἀχαιόν. Τότε μὲν οὖν διακούσας ὁ Βῶλις, καὶ φήσας, ἐπισκέψασθαι περὶ τῶν εἰρημένων ἐχωρίσθη. Δοὺς δὲ λόγον ἑαυτῷ καὶ μετὰ δύο ἢ τρεῖς ἡμέρας προσελθὼν πρὸς τὸν Σωσίβιον, ἀνεδέξατο τὴν πρᾶξιν εἰς αὐτόν, φήσας, ὡς γεγονέναι πλείω χρόνον ἐν ταῖς Σάρδεσι, καὶ τῶν τόπων ἐμπειρεῖν, καὶ τὸν Καμβύλον, τὸν ἡγεμόνα τῶν παρ' Ἀντιόχου στρατευομένων Κρητῶν, οὐ μόνον πολίτην, ἀλλὰ καὶ συγγενῆ καὶ φίλον ὑπάρχειν αὐτῷ· συνέβαινε δὲ καὶ τὸν Καμβύλον καὶ τοὺς ὑπὸ τοῦτον ταττομένους Κρῆτας πεπιστεῦσθαί τι τῶν φυλακτηρίων, τῶν κατὰ τοὺς ὄπισθεν τόπους τῆς ἄκρας, οἵ-

(1) Πολύβ. βιβλ. 7, 15—18.

τινες κατασκευὴν μὲν οὐκ ἐπεδέχοντο, τῇ δὲ συνεχείᾳ τῶν ὑπὸ τὸν Καμβῦλον τεταγμένων ἀνδρῶν ἐτηροῦντο. Τοῦ δὲ Σωσιβίου δεξαμένου τὴν ἐπίνοιαν, καὶ διειληφότος, ἢ μὴ δυνατὸν εἶναι, σωθῆναι τὸν Ἀχαιὸν ἐκ τῶν περιεστώτων, ἢ, δυνατοῦ καθ' ἅπαξ ὑπάρχοντος, διὰ μηλενὸς ἂν ἑτέρου γενέσθαι τοῦτο βέλτιον, ἢ διὰ Βώλιδος, τοιαύτης δὲ συνδραμούσης καὶ περὶ τὸν Βῶλιν προθυμίας, ταχέως ἐλάμβανε τὸ πρᾶγμα προκοπήν· ὅ τε γὰρ Σωσίβιος ἅμα μὲν προσεῖδου τῶν χρημάτων εἰς τὸ μηδὲν ἐλλείπειν εἰς τὰς ἐπιβολάς· πολλὰ δέ, εὖ γενομένων, ὑπισχνεῖτο δώσειν· τὰς δὲ παρ' αὐτοῦ τοῦ βασιλέως καὶ παρ' αὐτοῦ σωζομένου χάριτας ἐξ ὑπερβολῆς αὔξων, εἰς μεγάλας ἐλπίδας ἦγε τὸν Βῶλιν. Ὅτε προειρημένος ἀνήρ, ἕτοιμος ὢν πρὸς τὴν πρᾶξιν οὐδένα χρόνον ὑπομείνας, ἐξέπλευσε συνθήματα λαβὼν καὶ πίστεις πρός τε Νικόμαχον εἰς Ῥόδον, ὃς ἐδόκει πατρὸς ἔχειν διάθεσιν, κατὰ τὴν εὔνοιαν καὶ πίστιν πρὸς τὸν Ἀχαιόν, ὁμοίως δὲ καὶ πρὸς Μελαγκόμαν εἰς Ἔφεσον. Οὗτοι γὰρ ἦσαν, δι' ὧν καὶ τὸν πρὸ τοῦ χρόνου Ἀχαιὸς τά τε πρὸς τὸν Πτολεμαῖον καὶ τὰς ἄλλας ἁπάσας τὰς ἔξωθεν ἐπιβολὰς ἐχείριζε.

«Παραγενόμενος δ' εἰς τὴν Ῥόδον, καὶ μετὰ ταῦτα πάλιν εἰς τὴν Ἔφεσον, καὶ κοινωσάμενος τοῖς προειρημένοις ἀνδράσι, καὶ λαβὼν αὐτοὺς ἑτοίμους εἰς τὰ παρακαλούμενα, μετὰ ταῦτα Ἀριανόν τινα τῶν ὑφ' αὐτὸν ταττομένων διαπέμπεται πρὸς τὸν Καμβῦλον· φήσας, ἐξαπεστάλθαι μὲν ἐκ τῆς Ἀλεξανδρείας ξενολογήσων, βούλεσθαι δὲ τῷ Καμβύλῳ συμμῖξαι περί τινων ἀναγκαίων· διόπερ ᾤετο, δεῖν τάξασθαι καιρὸν καὶ τόπον, ἐν ᾧ, μηδενὸς συνειδότος, αὐτοῖς συναντήσουσι. Ταχὺ δὲ τοῦ Ἀριανοῦ συμμίξαντος τῷ Καμβύλῳ, καὶ δηλώσαντος τὰς ἐντολάς, ἑτοίμως ὁ προειρημένος ἀνὴρ ὑπήκουσε τοῖς παρακαλουμένοις, καὶ συνθέμενος ἡμέραν καὶ τόπον, ἑκατέρῳ γνωστόν, εἰς ὃν παρέσται νυκτός, ἀπέπεμψε τὸν Ἀριανόν. Ὁ δὲ Βῶλις, ἅτε Κρὴς ὑπάρχων, καὶ φύσει ποικίλος, πᾶν ἐβάσταζε πρᾶγμα, καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα. Τέλος δὲ συμμίξας τῷ Καμβύλῳ κατὰ τὴν τοῦ Ἀριανοῦ σύνταξιν, ἔδωκε τὴν ἐπιστολήν· ἧς τεθείσης εἰς τὸ μέσον, ἐποιοῦντο τὴν σκέψιν Κρητικήν· οὐ γὰρ ἐσκόπουν ὑπὲρ τῆς τοῦ κινδυνεύοντος σωτηρίας, οὐδ' ὑπὲρ τῆς τῶν ἐγχειρισάντων τὴν πρᾶξιν πίστεως, ἀλλ' ὑπὲρ τῆς αὐτῶν ἀσφαλείας

καὶ τοῦ σφίσιν αὐτοῖς συμφέροντος. Διόπερ, ἀμφότεροι Κρῆτες ὄντες, συντόμως κατηνέχθησαν ἐπὶ τὴν αὐτὴν γνώμην· αὕτη δ' ἦν, τὰ μὲν παρὰ τοῦ Σωσιβίου προδεδομένα δέκα τάλαντα διελέσθαι κοινῇ· τὴν δὲ πρᾶξιν Ἀντιόχῳ δηλώσαντας, καὶ συνεργῷ χρησαμένους ἐπαγγείλασθαι, τὸν Ἀχαιὸν ἐγχειριεῖν αὐτῷ, λαβόντας χρήματα, καὶ τὰς εἰς τὸ μέλλον ἐλπίδας ἀξίας τῆς προειρημένης ἐπιβολῆς. Τούτων δὲ κυρωθέντων, ὁ μὲν Καμβῦλος ἀνεδέξατο, χειριεῖν τὰ κατὰ τὸν Ἀντίοχον· ὁ δὲ Βῶλις ἐτάξατο, μετά τινας ἡμέρας πέμψειν τὸν Ἀριανὸν πρὸς τὸν Ἀχαιόν, ἔχοντα παρά τε τοῦ Νικομάχου καὶ Μελαγκόμα συνθηματικὰ γράμματα· περὶ δὲ τοῦ παρεισελθεῖν τὸν Ἀριανὸν εἰς τὴν ἄκραν ἀσφαλῶς, καὶ πάλιν ἀπελθεῖν, ἐκεῖνον ἐκέλευσε φροντίζειν· ἐὰν δὲ προσδεξάμενος τὴν ἐπιβολὴν Ἀχαιὸς ἀντιφωνήσῃ τοῖς περὶ τὸν Νικόμαχον καὶ Μελαγκόμαν· οὕτως, ἔφη, δῶσειν ὁ Βῶλις αὐτὸν εἰς τὴν χρείαν καὶ συμμίξειν τῷ Καμβύλῳ. Τῆς δὲ διατάξεως γενομένης τοιαύτης, χωρισθέντες ἔπραττον ἑκάτεροι τὰ συντεταγμένα.

«Καὶ λαβὼν καιρὸν πρῶτον ὁ Καμβῦλος, προσφέρει τῷ βασιλεῖ τὸν λόγον. Ὁ δὲ Ἀντίοχος, πρὸς τρόπον αὐτῷ καὶ παραδόξου γενομένης τῆς ἐπαγγελίας, τὰ μὲν ὑπερχαρὴς ὤν, πάνθ' ὑπισχνεῖτο· τὰ δὲ διαπιστῶν, ἐξήταζε τὰς κατὰ μέρος ἐπινοίας καὶ παρασκευὰς αὐτῶν· μετὰ δὲ ταῦτα πιστεύσας, καὶ νομίζων ὡσανεὶ σὺν θεῷ γίγνεσθαι τὴν ἐπιβολὴν ἠξίου καὶ πολλάκις ἐδεῖτο τοῦ Καμβύλου, συντελεῖν τὴν πρᾶξιν. Τὸ δὲ παραπλήσιον ὁ Βῶλις ἐποίει πρὸς τὸν Νικόμαχον καὶ Μελαγκόμαν· οἱ δέ, πιστεύοντες ἀπὸ τοῦ κρατίστου γίγνεσθαι τὴν ἐπιβολήν, καὶ παραυτίκα τῷ Ἀριανῷ συνθέντες τὰς πρὸς τὸν Ἀχαιὸν ἐπιστολὰς γεγραμμένας συνθηματικῶς, καθάπερ ἔθος ἦν αὐτοῖς, ἐξαπέστειλαν, παρακαλοῦντες πιστεύειν τοῖς περὶ τὸν Βῶλιν καὶ τὸν Καμβῦλον, οὕτως ὥστε τὸν κυριεύσαντα τῆς ἐπιστολῆς μὴ δύνασθαι γνῶναι μηδὲν τῶν ἐν αὐτῇ γεγραμμένων. Ὁ δὲ Ἀριανὸς, διὰ τοῦ Καμβύλου παρελθὼν εἰς τὴν ἄκραν, τὰ γεγραμμένα τοῖς περὶ τὸν Ἀχαιὸν ἀπέδωκε· καὶ συμπαρὼν ἀπὸ τῆς ἀρχῆς τοῖς γιγνομένοις, ἀκριβῶς τὸν κατὰ μέρος ὑπὲρ ἑκάστου ἀπεδίδου λόγον, πολλάκις μὲν καὶ ποικίλως ὑπὲρ τῶν κατὰ τὸν Καμβῦλον· οὐ μὴν ἀλλ' αὐτοπαθῶς καὶ γενναίως ὑ-

πέμενε τοὺς ἐλέγχους, καὶ μάλιστα διὰ τὸ μὴ γιγνώσκειν τὸ συνέχον τῶν τῷ Καμβύλῳ καὶ Βώλιδι δεδογμένων. Ἀχαιὸς δέ, καὶ διὰ τῶν ἀνακρίσεων τῶν τοῦ Ἀριανοῦ, καὶ μάλιστα διὰ τῶν τοῦ Νικομάχου καὶ Μελαγκόμα συνθημάτων πιστεύσας, ἀντεφώνησε καὶ παραχρῆμα πάλιν ἐξέπεμψε τὸν Ἀριανόν. Πλεονάκις δὲ τούτου γενομένου παρ' ἑκατέρων, τέλος οἱ περὶ τὸν Ἀχαιὸν ἐπέτρεψαν περὶ σφῶν τοῖς περὶ Νικόμαχον, ἅτε μηδεμιᾶς ἄλλης ἐλπίδος ἔτι καταλειπομένης πρὸς σωτηρίαν, καὶ πέμπειν ἐκέλευον ἅμα τῷ Ἀριανῷ τὸν Βῶλιν ἀσελήνου νυκτός, ὡς ἐγχειριοῦντες αὐτούς. Ἦν γάρ τις ἐπίνοια περὶ τὸν Ἀχαιὸν τοιαύτη· πρῶτον μὲν διαφυγεῖν τοὺς ἐνεστῶτας κινδύνους, μετὰ δὲ ταῦτα ποιήσασθαι διὰ προόδου τὴν ὁρμὴν ἐπὶ τοὺς κατὰ Συρίαν τόπους· πάνυ γὰρ εἶχε μεγάλας ἐλπίδας, ἐπιφανεὶς ἄφνω καὶ παραδόξως τοῖς κατὰ Συρίαν ἀνθρώποις, καὶ ἔτι διατρίβοντος Ἀντιόχου περὶ τὰς Σάρδεις μέγα ποιήσειν κίνημα, καὶ μεγάλης ἀποδοχῆς τεύξασθαι παρά τε τοῖς Ἀντιοχεῦσι καὶ τοῖς κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην.

«Ὁ μὲν οὖν Ἀχαιὸς ἐπί τινος τοιαύτης προσδοκίας καὶ διαλογισμῶν ὑπάρχων, ἐκαραδόκει τὴν παρουσίαν τοῦ Βώλιδος. Οἱ δὲ περὶ τὸν Μελαγκόμαν ἀποδεξάμενοι τὸν Ἀριανόν, καὶ τὰς ἐπιστολὰς ἀναγνόντες, ἐξέπεμψαν τὸν Βῶλιν, παρακαλέσαντες διὰ πλειόνων, καὶ μεγάλας ἐλπίδας ὑποδείξαντες, ἐὰν καθίκηται τῆς ἐπιβολῆς. Ὁ δὲ προδιαπεμψάμενος τὸν Ἀριανόν, καὶ δηλώσας τῷ Καμβύλῳ τὴν αὐτοῦ παρουσίαν, ἦκε νυκτὸς ἐπὶ τὸν συντεθέντα τόπον· γενόμενοι δὲ μίαν ἡμέραν ἐπὶ ταὐτό, καὶ συνταξάμενοι περὶ τοῦ πῶς χειρίσεσθαι τὰ κατὰ μέρος, μετὰ ταῦτα νυκτὸς εἰσῆλθον εἰς τὴν παρεμβολήν. Ἡ δὲ διάταξις αὐτῶν ἐγεγόνει τοιαύτη τις· εἰ μὲν συμβαίνει τὸν Ἀχαιὸν ἐκ τῆς ἄκρας ἐλθεῖν μόνον ἢ καὶ δεύτερον μετὰ Βώλιδος καὶ Ἀριανοῦ, τελέως εὐκαταφρόνητος, ἔτι δ' εὐχείρωτος ἔμελλε γίγνεσθαι τοῖς ἐνεδρεύουσιν, οἱ δὲ μετὰ πλειόνων, δύσχρηστος ἡ ὑπόθεσις ἀπέβαινε τοῖς πεπιστευμένοις, ἄλλως τε καὶ ζωγρεῖα σπεύδουσι κυριεῦσαι διὰ τὸ τῆς πρὸς τὸν Ἀντιόχον χάριτος τὸ πλεῖστον ἐν τούτῳ κεῖσθαι τῷ μέρει· διόπερ ἔδει τὸν μὲν Ἀριανὸν ὅταν ἐξάγῃ τὸν Ἀχαιόν, ἡγεῖσθαι, διὰ τὸ γινώσκειν τὴν ἀτραπόν, ἣ πολλάκις ἐπεποίητο καὶ τὴν εἴσοδον καὶ τὴν ἔξοδον· τὸν δὲ

Βῶλιν ἀκολουθεῖν τῶν ἄλλων κατόπιν, ἵνα, ἐπειδὰν παραγένηται πρὸς τὸν τόπον, ἐνῷ τοὺς ἐνεδρεύοντας ἑτοίμους ὑπάρχειν ἔδει διὰ τοῦ Καμβύλου, τότε ἐπιλαβόμενος κρατοίη τὸν Ἀχαιόν, καὶ μήτε διαδραίη κατὰ τὸν θόρυβον, νυκτὸς οὔσης, διὰ τόπων ὑλωδῶν, μητ' αὐτὸν ῥίψαι κατά τινος κρημνοῦ περιπαθὴς γενόμενος, πέσοι δὲ κατὰ τὴν πρόθεσιν ὑπὸ τὰς τῶν ἐχθρῶν χεῖρας ζωγρείᾳ. Τούτων δὲ συγκειμένων καὶ παραγενομένου τοῦ Βώλιδος ὡς τὸν Καμβῦλον, ᾗ μὲν ἦλθε νυκτί, ταύτῃ παράγει πρὸς τὸν Ἀντίοχον τὸν Βῶλιν ὁ Καμβῦλος, μόνος πρὸς μόνον. Ἀποδεξαμένου δὲ τοῦ βασιλέως φιλοφρόνως, καὶ δόντος πίστεις ὑπὲρ τῶν ἐπαγγελιῶν, καὶ παρακαλέσαντος ἀμφοτέρους διὰ πλειόνων, μηκέτι μέλλειν ὑπὲρ τῶν προκειμένων, τότε μὲν ἀνεχώρησαν εἰς τὴν αὐτῶν παρεμβολήν· ὑπὸ δὲ τὴν ἑωθινὴν Βῶλις ἀνέβη μετὰ τοῦ Ἀριανοῦ καὶ παρεισῆλθεν ἔτι νυκτὸς εἰς τὴν ἄκραν.

«Ἀχαιὸς δὲ προσδεξάμενος ἐκτενῶς καὶ φιλοφρόνως τὸν Βῶλιν, ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος· θεωρῶν δὲ καὶ κατὰ τὴν ἐπιφάνειαν τὸν ἄνδρα καὶ κατὰ τὴν ὁμιλίαν ἕλκοντα τὸ τῆς πράξεως στάσιμον τὰ μὲν περιχαρὴς ἦν διὰ τὴν ἐλπίδα τῆς σωτηρίας, τὰ δὲ πάλιν ἐπτοημένος καὶ πλήρης ἀγωνίας διὰ τὸ μέγεθος τῶν ἀποβησομένων. Ὑπάρχων δὲ καὶ κατὰ τὴν διάνοιαν οὐδενὸς ἧττων, καὶ κατὰ τὴν ἐν πράγμασι τριβὴν ἱκανός, ὅμως ἀκμὴν ἔκρινε μὴ πᾶσαν εἰς τὸν Βῶλιν ἀνακρεμάσαι τὴν πίστιν, διὸ ποιεῖται τοιούτους λόγους πρὸς αὐτόν, ὅτι κατὰ μὲν τὸ παρὸν οὐκ ἔστι δυνατὸν ἐξελθεῖν αὐτῷ, πέμψει δέ τινας τῶν φίλων μετ' ἐκείνου τρεῖς ἢ τέτταρας· ὧν συμμιξάντων τοῖς περὶ τὸν Μελαγκόμαν, ἕτοιμον αὐτὸν ἕψῃ παρασκευάσειν πρὸς τὴν ἔξοδον. Ὁ μὲν οὖν Ἀχαιὸς ἐποίει τὰ δυνατά, τοῦτο δ' ἠγνόει τό δῆ τὸ λεγόμενον, πρὸς Κρῆτα κρητίζων· ὁ γὰρ Βῶλις οὐδὲν ἀψηλάφητον εἶχε τῶν ἐπινοηθέντων ἂν εἰς τοῦτο τὸ μέρος. Πλὴν παραγενομένης τῆς νυκτός, ἐν ᾗ συνεξαποστέλλειν ἕψῃ τοὺς φίλους, προπέμψας τὸν Ἀριανὸν καὶ τὸν Βῶλιν ἐπὶ τὴν τῆς ἄκρας ἔξοδον, μένειν προσέταξεν, ἄχρις ἂν οἱ μέλλοντες αὐτοῖς συνεξορμᾶν παραγένωνται· τῶν δὲ πειθαρχησάντων, κοινωσάμενος παρ' αὐτὸν τὸν καιρὸν τῇ γυναικὶ καὶ ποιήσας διὰ τὸ παράδοξον τὴν Λαοδίκην ἔκφρονα χρόνον μέν τινα λιπαρῶν ταύτην καὶ κατα-

πραΰνων ταῖς προσδοκωμέναις ἐλπίσι προσεκαρτέρει· μετὰ δὲ ταῦτα πέμπτος αὐτὸς γενόμενος, καὶ τοῖς μὲν ἄλλοις μετρίας ἐσθῆτας ἀναδούς, αὐτὸς δὲ λιτὴν καὶ τὴν τυχοῦσαν ἀναλαβὼν καὶ ταπεινὸν αὐτὸν ποιήσας προῆγε συντάξας ἑνὶ τῶν φίλων, αὐτὸν ἀεὶ ἀποκρίνασθαι πρὸς τὸ λεγόμενον ὑπὸ τῶν περὶ τὸν Ἀριανὸν καὶ πυνθάνεσθαι παρ' ἐκείνων ἀεὶ τὸ κατεπεῖγον, περὶ δὲ τῶν ἄλλων φάναι, βαρβάρους αὐτοὺς ὑπάρχειν.

«Ἐπεὶ δὲ συνέμιξαν τοῖς περὶ τὸν Ἀριανόν, ἡγεῖτο μὲν αὐτὸς αὐτῶν διὰ τὴν ἐμπειρίαν. Ὁ δὲ Βῶλις κατόπιν ἐπέστη κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν ἀπορῶν καὶ δυσχρηστούμενος ὑπὲρ τοῦ συμβαίνοντος· καίπερ γὰρ ὢν Κρὴς καὶ πᾶν ἄντι κατὰ τοῦ πέλας ὑποπτεύσας, ὅμως οὐκ ἠδύνατο διὰ τὸ σκότος συννοῆσαι τὸν Ἀχαιόν, οὐχ οἷον τίς ἐστίν, ἀλλ' οὐδὲ καθάπαξ εἰ πάρεστι. Τῆς δὲ καταβάσεως κρημνώδους μὲν καὶ δυσβάτου κατὰ τὸ πλεῖστον ὑπαρχούσης, καλίαν ἐπισφαλῶς ἐχούσης καὶ κινδυνώδεις καταφοράς, ὁπότε παραγένοιτο πρός τινα τοιοῦτον τόπον, τῶν μὲν ἐπιλαμβανομένων, τῶνι δὲ πάλιν ἐκδεχομένων τὸν Ἀχαιόν· (οὐ δυναμένων γὰρ καθόλου τὴν ἐκ τῆς συνηθείας καταξίωσιν στέλλεσθαι πρὸς τὸν παρόντα καιρόν)· ταχέως ὁ Βῶλις συνῆκε, τίς ἐστὶ καὶ ποῖος αὐτῶν ὁ Ἀχαιός. Ἐπεὶ δὲ παρεγένοντο πρὸς τὸν τῷ Καμβύλῳ διατεταγμένον τόπον, καὶ τὸ σύνθημα προσυρίξας ὁ Βῶλις ἀπέδωκε, τῶν μὲν ἄλλων οἱ διαναστάντες ἐκ τῆς ἐνέδρας ὑπελάβοντο· τὸν δὲ Ἀχαιὸν αὐτὸς ὁ Βῶλις ὁμοῦ τοῖς ἱματίοις, ἔνδον τὰς χεῖρας ἔχοντα, συνήρπασε φοβηθείς, μὴ συννοήσας τὸ γιγνόμενον ἐπιβάλλοιτο διαφθείρειν αὐτόν· καὶ γὰρ εἶχε μάχαιραν ὑφ' αὑτῷ παρεσκευασμένος· ταχὺ δὲ καὶ πανταχόθεν κυκλωθεὶς, ὑποχείριος ἐγένετο τοῖς ἐχθροῖς καὶ παραχρῆμα μετὰ τῶν φίλων ἀνήγετο πρὸς τὸν Ἀντίοχον. Ὁ δὲ βασιλεὺς, πάλαι μετέωρος ὢν τῇ διανοίᾳ, καὶ καραδοκῶν τὸ συμβησόμενον ἀπολύσας τοὺς ἐκ τῆς συνουσίας, ἔμενε μόνος ἐγρηγωρὼς ἐν τῇ σκηνῇ μετὰ δυσὶν ἢ τριῶν σωματοφυλάκων· παρεισελθόντων δὲ τῶν περὶ τὸν Καμβῦλον, καὶ καθισάντων τὸν Ἀχαιὸν ἐπὶ τὴν γῆν δεδεμένον· εἰς τοιαύτην ἀφασίαν ἦλθε διὰ τὸ παράδοξον, ὥστε πολὺν μὲν χρόνον ἀποσιωπῆσαι, τὸ δὲ τελευταῖον συμπαθὴς γενέσθαι καὶ δακρῦσαι· τοῦτο δ' ἔπαθεν, ὁρῶν, ὡς ἐμοί γε δοκεῖ, τὸ δυσφύ-

λακτον καὶ παράλογον τῶν ἐκ τῆς τύχης συμβαινόντων. Ἀχαιὸς γὰρ ἦν Ἀνδρομάχου μὲν υἱὸς τοῦ Λαοδίκης ἀδελφοῦ, τῆς Σελεύκου γυναικός· ἔγημε δὲ Λαοδίκην τὴν Μιθριδάτου τοῦ βασιλέως θυγατέρα, κύριος δὲ ἐγεγόνει τῆς ἐπὶ τάδε τῆς Ταύρου πάσης· δοκὼν δὲ τότε καὶ ταῖς αὐτοῦ δυνάμεσι καὶ ταῖς τῶν ὑπεναντίων ἐν ὀχυρωτάτῳ τόπῳ τῆς οἰκουμένης διατρίβειν, ἐκάθητο δεδεμένος ἐπὶ τῆς γῆς, ὑποχείριος γενόμενος τοῖς ἐχθροῖς, οὐδέπω γινώσκοντος οὐδενὸς ἁπλῶς τὸ γεγονός, πλὴν τῶν πραξάντων.

«Οὐ μὴν ἀλλ' ἅμα τῷ φωτί, συναθροιζομένων τῶν φίλων εἰς τὴν σκηνὴν κατὰ τὸν ἐθισμὸν καὶ τοῦ πράγματος ὑπὸ τὴν ὄψιν θεωρουμένου· τὸ παραπλήσιον τῷ βασιλεῖ συνέβαινε πάσχειν καὶ τοὺς ἄλλους. Θαυμάζοντες γὰρ τὸ γεγονός, ἠπίστουν τοῖς ὁρωμένοις. Καθίσαντος δὲ τοῦ συνεδρίου, πολλοὶ μὲν ἐγίγνοντο λόγοι, περὶ τοῦ τίσι δεῖ κατ' αὐτοῦ χρήσασθαι τιμωρίαις· ἔδοξε δ' οὖν πρῶτον μὲν ἀκρωτηριᾶσαι τὸν ταλαίπωρον· μετὰ δὲ ταῦτα τὴν κεφαλὴν ἀποτεμόντας αὐτοῦ, καὶ καταρράψαντες εἰς ὄνειον ἀσκὸν, ἀνασταυρῶσαι τὸ σῶμα. Γενομένων δὲ τούτων, καὶ τῆς δυνάμεως ἐπιγνούσης τὸ συμβεβηκός, τοιοῦτος ἐνθουσιασμὸς ἐγένετο καὶ παράστασις τοῦ στρατοπέδου παντός, ὥστε τῆς Λαοδίκης ἐκ τῆς ἄκρας, μόνον συνειδυίας τὴν ἔξοδον τἀνδρός, τεκμήρασθαι τὸ γεγονός, ἐκ τῆς περὶ τὸ στρατόπεδον ταραχῆς καὶ κινήσεως. Ταχὸ δὲ καὶ τοῦ κήρυκος παραγενομένου πρὸς τὴν Λαοδίκην, καὶ διασαφοῦντος τὰ περὶ τὸν Ἀχαιόν, καὶ κελεύοντος τίθεσθαι τὰ πράγματα, καὶ παραχωρεῖν τῆς ἄκρας· τὸ μὲν πρῶτον ἀναπόκριτος οἰμωγὴ καὶ θρῆνοι παράλογοι κατεῖχον τοὺς περὶ τὴν ἀκρόπολιν, οὐχ οὕτω διὰ τὴν πρὸς τὸν Ἀχαιὸν εὔνοιαν, ὡς διὰ τὸ παράδοξον καὶ τελέως ἀνέλπιστον ἑκάστῳ φαίνεσθαι τὸ συμβεβηκός· μετὰ δὲ ταῦτα πολλή τις ἦν ἀπορία καὶ δυσχρηστία περὶ τοὺς ἔνδον. Ἀντίοχος δὲ περικεχειρισμένος τὸν Ἀχαιόν, ἐπεῖχε τοὺς κατὰ τὴν ἄκραν ἀεί, πεπεισμένος, ἀφορμὴν ἐκ τῶν ἔνδον αὐτῷ παραδοθήσεσθαι καὶ μάλιστα διὰ τῶν στρατιωτῶν· ὃ καὶ τέλος ἐγένετο. Στασιάσαντες γὰρ πρὸς σφᾶς, ἐμερίσθησαν, οἱ μὲν πρὸς Ἀριόβαζον, οἱ δὲ πρὸς τὴν Λαοδίκην· οὗ γενομένου, δυσπιστήσαντες ἀλλήλους, ταχέως ἀμφότεροι παρέδοσαν αὐτοὺς καὶ τὰς ἀκροπόλεις. Ἀχαιὸς μὲν οὖν, πάντα τὰ κατὰ λό-

γον πράξας, ὑπὸ δὲ τῆς τῶν πιστευθέντων ἠττηθεὶς ἀθεσίας, κατεστρέψατο τὸν βίον· κατὰ δύο τρόπους οὐκ ἀνωφελὲς ὑπόδειγμα γενόμενος τοῖς ἑπομένοις· καθ' ἕνα μέν, πρὸς τὸ μηδενὶ πιστεύειν ῥαδίως· καθ' ἕτερον δὲ πρὸς τὸ μὴ μεγαλαυχεῖν ἐν ταῖς εὐπραγίαις, πᾶν δὲ προσδοκᾶν ἀνθρώπους ὄντας» 1).

Ο ΑΤΤΑΛΟΣ ΑΥΞΑΝΕΙ ΤΗΝ ΕΞΟΥΣΙΑΝ ΑΥΤΟΥ ΚΑΤΑ ΤΟΥΣ ΕΝ ΤΗ ΑΝΑΤΟΛΙΚΗ ΑΣΙΑ ΠΟΛΕΜΟΥΣ ΤΟΥ ΑΝΤΙΟΧΟΥ. — Μετὰ τὸ γεγονὸς τοῦτο (214), ὅπερ ἐγκατέλειπεν αὐτὸν κύριον τῆς ἰσχυροτέρας θέσεως τῆς Μικρᾶς Ἀσίας καὶ ἁπασῶν τῶν ἐπαρχιῶν, ἃς ὁ Ἀχαιὸς ἐκράτει ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, πιθανώτατον ὅτι ὁ Ἀντίοχος κατέγινε νὰ ἐγκαταστήσῃ τὴν ἐξουσίαν του ἐν τῇ ἐπαρχίᾳ ταύτῃ, οὐχὶ ὅμως χωρὶς ἀνταμείψῃ τὴν ἀφοσίωσιν, ἣν ὁ Ἄτταλος ἐπεδείξατο ὑπὲρ αὐτοῦ· ὁποία δέ τις ἡ ἀνταμοιβή; ἡ ἱστορία σιγᾷ, ἀλλὰ λίαν πιθανὸν νὰ ᾖ ἡ ἀναγνώρισις τοῦ Ἀττάλου ὡς βασιλέως καὶ ἡ παραχώρησις αὐτῷ ἐκτενοῦς χώρας. Τὸ βέβαιον εἶναι ὅτι, μετὰ τὴν τιμωρίαν τοῦ Ἀχαιοῦ, ὁ Ἀντίοχος δὲν ἐσναμάτησεν ἐν Μικρᾷ Ἀσίᾳ, διότι μετ' ὀλίγον καιρὸν βλέπομεν αὐτὸν καταβάλοντα τὴν ἀποστασίαν τοῦ Ξέρξου, βασιλέως τῆς πόλεως Ἀρμάσατα ἐν Μεσοποταμίᾳ ἀπὸ τοῦ 212—207, πολεμοῦντος πρὸς τὸν Ἀρσάκην τὸν Γ΄. βασιλέα τῶν Πάρθων, ὅστις ἐκυρίευσε τὴν Ληδαν, καὶ εἶτα, τῇ βοηθείᾳ τοῦ βασιλέως τούτου, στρέψαντα τὰ ὅπλα αὐτοῦ κατὰ τῶν Βικτωρίων καὶ τέλος (206) ἐκστρατεύσαντα ἀνεπιτυχῶς κατὰ τῆς Ἰνδικῆς.

